νας, μηδὲ τῇ περὶ τοῦ μέλλοντος χρόνου φροντίδι κατατρίβεσθαι ([1]). Μετὰ τῆς αὐτῆς δὲ κατὰ γράμμα ἀκριβείας ἐπετέλεσεν ἑαυτῷ τοὺς λόγους τοῦ Εὐαγγελίου περὶ εὐνουχισμοῦ. Ἠβουλήθη ἐπικρύψασθαι τὴν πρᾶξιν αὐτοῦ τοῖς ἄλλοις· ἀλλ' ὁ ἐπίσκοπος ἔμαθεν αὐτήν, καὶ τότε μόνον ἀπεθαύμασεν αὐτὸν τοῦ τολμήματος. Αὐτὸς ὁ Ὠριγένης ἡγήσατο μετὰ ταῦτα τὴν πρᾶξιν αὐτοῦ ἀποτέλεσμα ἀλόγου ζήλου τῆς ἑαυτοῦ νεότητος ([2]). Ὁ αὐστηρὸς βίος οὐχ ἧττον, ἢ ἡ δύναμις τῆς διδασκαλίας ἐφείλκυε πρὸς τὸν Ὠριγένην πλῆθος μαθητῶν, καίπερ ὄντος τότε ἐν Ἀλεξανδρείᾳ διωγμοῦ, καθ' ὃν ἔπαθον καὶ πολλοὶ τῶν μαθητῶν αὐτοῦ ([3]).

Οἱ αἱρετικοὶ καὶ οἱ ἐθνικοί, ἑλκυόμενοι ὑπὸ τῆς δόξης τοῦ Ὠριγένους προὐκάλουν αὐτὸν εἰς ἀντιλογίαν περὶ τῆς φιλοσοφίας αὐτῶν καὶ τῶν ἀντικειμένων τῆς πίστεως, καὶ ἠνάγκαζον ἀνασκευάζειν διαφόρους ἐνστάσεις αὐτῶν κατὰ τῆς ἀληθείας τοῦ Χριστοῦ. Τοῦτο, ὡς ἔγραψεν αὐτὸς ὁ Ὠριγένης, ἠνάγκασεν αὐτὸν μελετῆσαι προσεκτικώτερον τὴν σύγχρονον φιλοσοφίαν, καὶ ἐκ τῶν λόγων αὐτοῦ μανθάνομεν, ὅτι ἠκροάσατο τοῦ διδασκάλου ἐκείνου τῆς φιλοσοφίας, παρ' ᾧ ἐπὶ πενταετίαν ἐδιδάχθη ὁ Ἡρακλᾶς, ὁ ὑπὸ τοῦ Ὠριγένους ἐπιστραφεὶς εἰς τὸν χριστιανισμόν,—καὶ ἑπομένως διδάσκαλος αὐτοῦ ἐγένετο εἷς τῶν Ἀλεξανδρινῶν φιλοσόφων, ἀλλ' οὐκ ὀρθῶς ὑπέθεσάν τινες, ὅτι ἦν Ἀμμώνιος ὁ Σακκᾶς, ὁ τοῦ Πλωτίνου διδάσκαλος ([4]).

([1]) Εὐσέβ. αὐτόθ. ς'. 3· Hieron. de vir. illustr. c. 54.

([2]) Ὁμιλ. ιέ. εἰς τὸν ιϐ'. στίχ. τοῦ ιθ'. κεφαλαίου τοῦ Ματθαίου καὶ κατὰ Κέλσον βιϐλ. ζ'. Εὐσέϐ. Ἐκκλ. ἱστορ. ς'. 8.

([3]) Εὐσέϐ. Ἐκκλ. ἱστορ. ς'. 4. 5.

([4]). Εὐσέϐ. αὐτόθ. ς'. 18. Hieron. de vir. illustr. c. 54. Ὠριγ. Τόμ. Α, σελ. 4. 30. Ὁ Ὠριγένης παρ' Εὐσεβίῳ λέγει μόνον: *παρὰ τῷ διδασκάλῳ*. Τὸ ἄρθρον πρὸ τοῦ ὀνόματος δείκνυσι μόνον, ὅτι ὁ διδάσκαλος ἦν γνωστός. Ἐκ δὲ τῆς πλοκῆς τοῦ λόγου δῆλον, ὅτι ὁ διδάσκαλος οὗτος ἦν διδάσκαλος τοῦ Ἡρακλᾶ. Ὁ Ἀμμώνιος Σακκᾶς τότε οὐκ ἦν ἔνδοξος. Ἡ δόξα αὐτοῦ ἤρξατο ἀναφαινομένη μόνον μετὰ τῆς τοῦ μαθητοῦ αὐτοῦ Πλωτίνου, ἀποθανόντος τῷ 270. Ὁ Πορφύριος (παρ' Εὐσεβίῳ Ἐκκλ. ἱστορ. ς'. 19) καλεῖ τὸν Ὠριγένην μαθητὴν τοῦ Πλωτίνου· ἀλλ' ἀναμφιβόλως συγχέει τὸν περικλεᾶ Ὠριγένην τῷ νέῳ Ὠριγένει, ὃς βεβαίως ἠδύνατο εἶναι συνήθης τῷ Ἀμμωνίῳ (*Ritter*, Gesch. d. Crist Philosoph. B. I. S. 467—468. Gesch. d. alten Philosoph. 4, 567. *Rixner* Gesch. d. Philo-

Ὁ Ὠριγένης φοιτῶν εἰς τοῦ φιλοσόφου, οὐκ ἠδύνατο ἀμελεῖν τῶν ἐν τῷ διδασκαλείῳ ἀσχολιῶν αὐτοῦ, αἵτινες, αὐξανομένου τοῦ ἀριθμοῦ τῶν μαθητῶν, ἐπολλαπλασιάζοντο. Διὰ τοῦτο ἐξελέξατο τὸν Ἡρακλᾶν ὡς βοηθὸν αὐτοῦ. Εὐρύνας τὸν κύκλον τῶν ἐπιστημῶν, τῷ μὲν Ἡρακλᾷ ἐπέτρεψε τὴν πρώτην διδασκαλίαν τῶν φοιτώντων, ἑαυτῷ δὲ ἐφύλαξέ τὴν περαιτέρω διδασκαλίαν τῶν μαθητῶν — τῶν ἀκροωμένων αὐτοῦ ([1]).

Ὁ Ὠριγένης ἐπόνησε μετ' ἐπιτυχίας περὶ τὴν δόξαν τοῦ χριστιανικοῦ ὀνόματος. Ἐποιεῖτο χρῆσιν τῶν τε πονημάτων αὐτοῦ καὶ τῶν γνώσεων, ἵνα ἐπιστρέψῃ εἰς τὴν διδασκαλίαν τοῦ Χριστοῦ τοὺς ἐρχομένους πρὸς αὐτὸν πρὸς ἀκρόασιν τῆς φιλοσοφίας καὶ τῶν μαθηματικῶν ([2]). Οὕτως ἐπέστρεψε πολλοὺς τῶν ἐθνικῶν καὶ ἡμιχριστιανῶν—τῶν γνωστικῶν εἰς τὴν χριστιανικὴν ἁπλότητα. Τούτων ἐπισημότερος ἦν ὁ Ἀμβρόσιος, πλούσιος Ἀλεξανδρεύς, ὅς, οὐκ ἀρκούμενος τῇ ἁπλῇ τῶν θείων Γραφῶν ἐξηγήσει, ἐζήτει τὴν πνευματικὴν ἑρμηνείαν παρὰ τοῖς Γνωστικοῖς—τοῖς ὀπαδοῖς τοῦ Οὐαλεντίνου, καὶ ἤδη εἶχε τὴν πεποίθησιν, ὅτι εὗρε πάντα παρ' αὐτοῖς, ὅτε, γνώριμος γενόμενος τῷ Ὠριγένει, κατεῖδε τὴν πλάνην αὐτοῦ, καὶ ἤρξατο μανθάνειν παρ' αὐτῷ ἑνοῦν τῇ πίστει τὴν ὀρθὴν γνῶσιν. Ἐγένετο φίλος τῷ Ὠριγένει καὶ πλεῖστον ὅσον ἐβοήθησεν αὐτῷ ἐν τοῖς ὑπὲρ τῆς Ἐκκλησίας σοφοῖς αὐτοῦ πονήμασιν ([3]).

Αἱ μετὰ τῶν Ἰουδαίων σχέσεις ἠνάγκασαν τὸν Ὠριγένην ἐκμαθεῖν τὴν ἑβραϊκὴν γλῶσσαν. Ὅθεν ἄγων τὸ κς'. ἔτος τῆς ἡλικίας αὐτοῦ, ἤρξατο διδασκόμενος τὴν γλῶσσαν ταύτην, ἥν, κατὰ τὸν Ἱερώνυμον, ἐξέμαθεν οὐ μετά τινας μῆνας, ἀλλὰ μετά τινας ἡμέρας ([4]).

---

soph. B. I. 5. 377). Ἐντεῦθεν καὶ τὰ συμπεράσματα, τὰ ἐξαχθέντα περὶ τῆς φιλοσοφίας τοῦ Ὠριγένους ὡς νεοπλατωνικῆς, ἀποβάλλουσιν τὴν ἱστορικὴν αὐτῶν βάσιν.

([1]) Εὐσέβ. αὐτόθ. ς'. 15. Hieron. Γρηγόρ. ὁ Θαυματ. εἰς Ὠριγ. προσφωνητ. καὶ πανηγυρ. λογ. κεφ. ζ'. ἴδ. ἐν τῇ γενικῇ ἐπιθεωρ. σημ. 26.

([2]) Hieron de vir. illustr. c. 54.

([3]) Εὐσέβ. Ἐκκλ. ἱστορ. ς'. 18.

([4]) Εὐσέβ. αὐτόθ. 16. «Τοσαύτη δὲ εἰσήγετο τῷ Ὠριγένει τῶν θείων λόγων ἀπηκριβωμένη ἐξέτασις, ὡς καὶ τὴν ἑβραΐδα γλῶτταν ἐκμαθεῖν.» Hieron. de vir. illustr. c. 54.

Κατὰ τὸν αὐτὸν χρόνον ἕνεκα τῶν αὐτῶν σχέσεων ἤρξατο μετὰ καταπληκτικῆς φιλοπονίας τῶν φιλολογικῶν αὐτοῦ ἐρευνῶν περὶ τὸ κείμενον τῆς ἁγίας Γραφῆς, μηδόλως μεταβάλλων τὸν αὐστηρὸν αὐτοῦ βίον (1). Ἡ δόξα τοῦ Ὠριγένους διεδόθη πανταχόσε. Πάντων δὲ μάλιστα ἐσέβοντο αὐτὸν Ἀλέξανδρος ὁ Ἱεροσολύμων καὶ Θεόκτιστος ὁ Καισαρείας τῆς Παλαιστίνης. Ὁ Δημήτριος ἐπὶ μακρὸν ἐφαίνετο στέργων ταῖς πράξεσι τοῦ Ὠριγένους. Περὶ τὸ 218 ὁ τῆς Ἀραβίας ἡγεμὼν παρεκάλεσε διὰ πρεσβείας τὸν Δημήτριον καὶ τὸν τότε τῆς Αἰγύπτου ἔπαρχον πέμψαι πρὸς αὐτὸν διδάσκαλον τῆς πίστεως. Καὶ ὁ ἔπαρχος καὶ ὁ Δημήτριος ἀπέστειλαν τὸν Ὠριγένην εἰς Ἀραβίαν (2). Μετὰ τὴν ἐκ τῆς Ἀραβίας ἐπάνοδον ἀναγκασθεὶς ἀπομακρυνθῆναι ἐκ τῆς Ἀλεξανδρείας διὰ τὴν κατ' αὐτοῦ ὀργὴν τοῦ Καρακάλλα, κατέφυγεν εἰς Καισάρειαν, ἧς ὁ ἐπίσκοπος Θεόκτιστος ἐπέτρεψεν αὐτῷ ἑρμηνεύειν δημοσίᾳ ἐν τῇ Ἐκκλησίᾳ, παρόντος αὐτοῦ, τὴν ἁγίαν Γραφήν. Ὁ Δημήτριος ἐδήλωσε τότε πρὸς τὸν Ὠριγένην τὴν δυσαρέστησιν αὐτοῦ· ἔγραψε πρὸς τὸν Θεό-

---

Quis ignorat et quod tantum in divinis Scripturis habuerit studii, ut etiam hebraeam linguam contra ætatis gentisque suæ naturam edisceret? καὶ epist. 25. ad Paulam (edit. Paris. 1609): «Græcia tota in illo mirata est, quod in paucis non dicam mensibus, sed diebus, ita hebrææ linguæ vicisset difficultates, ut in dicendis canendisque psalmis cum matre contenderet».

(1) Ὁ Ἱερώνυμος γράφει (ep. 45. ad Mariellam), ὅτι, παρόντος τοῦ Ὠριγένους, οὐδεὶς μετελάμβανε τροφῆς, οὐδεὶς κατεκλίνετο, οὐδεὶς ἐξηγείρετο τῆς κλίνης ἄνευ ἀναγνώσεως τῆς Γραφῆς. Οὕτως ἔπραττεν ὁ Ἀμβρόσιος. Αὐτὸς ὁ Ὠριγένης γράφει: «. . . οὔτε γὰρ δειπνῆσαί ἐστιν ἡμῖν ἀντιβάλλουσιν, οὔτε δειπνήσασιν ἔξεστι περιπατῆσαι καὶ διαναπαῦσαι τὰ σώματα, ἀλλὰ καὶ ἐν τοῖς καιροῖς ἐκείνοις φιλολογεῖν καὶ ἀκριβοῦν τὰ ἀντίγραφα ἀναγκαζόμεθα. Οὔτε μὴν ὅλην ἐπὶ θεραπείᾳ τοῦ σώματος τὴν νύκτα ἔξεστιν ἡμῖν κοιμᾶσθαι, ἐπὶ πολὺ τῆς ἑσπέρας τῆς φιλολογίας παρατεινούσης. Ἐῶ δὲ λέγειν καὶ τὰ ἕωθεν μέχρι τῆς ἐννάτης, ἔσθ' ὅτε καὶ δεκάτης ὥρας· πάντες γὰρ οἱ θέλοντες φιλοπονεῖν, τοὺς καιροὺς ἐκείνους τῇ ἐξετάσει τῶν θείων λογίων καὶ ταῖς ἀναγνώσεσιν ἀνατιθέασι». (Ἐκ τῆς Ὠριγ. ἐπιστ. πρός τινα περὶ Ἀμβροσίου).

(2) Εὐσέβ. ς'. 19.

κτιστον, ὅτι ἀνήκουστόν ἐστι τὸ κηρύττειν κοσμικὸν ἐνώπιον ἐπισκόπου, καὶ ᾔτει τὴν εἰς Ἀλεξάνδρειαν ἐπάνοδον τοῦ Ὠριγένους. Οὗτος ὑπήκουσε τῷ ἐπισκόπῳ αὐτοῦ, ὡς μηδ' ἐν Καισαρείᾳ ἐκπληρῶν τὴν ἑαυτοῦ θέλησιν. Περὶ τὸ 220 μετεπέμψατο αὐτὸν εἰς Ἀντιόχειαν ἡ Ἰουλία Μαμμαία, ἐπιθυμοῦσα ἀκροάσασθαι τοῦ περικλεοῦς ἀνδρός, οὗ τῷ ἐνθέῳ ζήλῳ ἔτυχεν ἡ Ἐκκλησία τῆς εἰρήνης, ἧς ἀπήλαυεν ἐπὶ τοῦ Αὐτοκράτορος Ἀλεξάνδρου Σευήρου (1). Ἐπανελθὼν εἰς Ἀλεξάνδρειαν ἤρξατο γράφειν κατὰ παράκλησιν τοῦ Ἀμβροσίου ὑπομνήματα εἰς τὴν ἁγίαν Γραφήν. (2). Ἑπτὰ ταχυγράφοι ἔγραφον τὰ ὑπ' αὐτοῦ ὑπαγορευόμενα, ἀντιγραφεῖς τε οὐχ ἧττον ἀντέγραφον τοὺς καρποὺς τοῦ ὑπὲρ λίαν ταχέος καὶ ἰσχυροῦ νοῦ τοῦ Ὠριγένους. Τότε συνεγράφη πρὸς τοῖς ἄλλοις τὸ περὶ Ἀρχῶν σύγγραμμα, λίαν ἀξιοσημείωτον δι' ὃ διήγειρε θόρυβον καὶ διὰ τὴν ἐπὶ τὴν τύχην αὐτοῦ τοῦ Ὠριγένους ἐπιρροὴν αὐτοῦ. Ὁ Ἀμβρόσιος, παρέχων πᾶν τὸ ἀναγκαῖον πρὸς τοὺς σοφοὺς τοῦ Ὠριγένους πόνους, ἐκ ζήλου ᾔτει καθ' ἑκάστην παρ' αὐτοῦ νέον τι, καὶ οὗτος μετὰ πολλῆς σπουδῆς εἰργάζετο νυκτός τε καὶ ἡμέρας (3). Δέκα ἔτη διῆλθε περὶ τοιαύτας ἀσχολίας ἀσχολούμενος.

§. 90. β'] *Ἀπὸ τῶν δυσαρεστήσεων μέχρι τῆς τελευτῆς αὐτοῦ.*

Τῷ 228 ὁ Ὠριγένης ἀπεστάλη εἰς Ἀχαΐαν μετὰ συστατικῶν ἐπιστολῶν τοῦ ἐπισκόπου αὐτοῦ πρὸς ἔλεγχον τῶν αἱρετικῶν. Μεταβαίνων ἐκεῖσε διὰ τῆς Παλαιστίνης, προὐχειρίσθη ἐν Καισαρείᾳ εἰς πρεσβύτερον ὑπὸ τῶν ἐπισκόπων Θεοκτίστου καὶ Ἀλεξάνδρου,— τοῦτο συνέβη αὐτῷ τὸ τεσσαρακοστὸν ἔτος τῆς ἡλικίας ἄγοντι. Ὁ Ὠριγένης ἐξεπλήρωσε πιστῶς τὸν σκοπὸν τῆς εἰς Ἀχαΐαν ἀπο-

(1) Εὐσέβ. ς'. 21.

(2) Εὐσέβ. ς'. 23. Ἐν τῷ χρόνῳ τούτῳ ἐξεπόνησεν ὁ Ὠριγένης τὰ ὑπομνήματα εἰς τὸ βιβλίον *τῆς Γενέσεως*, εἰς *τοὺς εἴκοσι πέντε πρώτους ψαλμούς*, εἰς *τοὺς Θρήνους τοῦ Ἱερεμίου*, τοὺς πρώτους πέντε τόμους *εἰς τὸν Εὐαγγελιστὴν Ἰωάννην*· τὰ συγγράμματα: *περὶ Ἀναστάσεως, περὶ Ἀρχῶν*, καὶ *τοὺς Στρωματεῖς*· Εὐσέβ. ς'. 24. 32. Hieron. de vir. illustr. c. 56. Ὠριγ. πρὸς Ἀφρικαν. ἐν τῷ τέλει κατὰ Κέλσ. ς'. 49. Hieron. adv. Rufin. 2.

(3) Hieron. de vir. illustr. c. 61. epist. 45. ad Marcellam.

στολῆς αὐτοῦ· μετὰ σεβασμοῦ ἐγένετο δεκτὸς ἐν Ἀθήναις καὶ ἐν Ἐφέσῳ (1). Ἐν τούτοις τὸ ἀξίωμα τοῦ πρεσβυτέρου, ὅπερ ἀνεδέξατο οὐ κατ' ἰδίαν θέλησιν, ἐξηρέθισε κατ' αὐτοῦ τὸν Ἀλεξανδρείας ἐπίσκοπον. Ὁ Δημήτριος, κατὰ τὸν Ἱερώνυμον, ἐπὶ τοσοῦτον παρεσύρθη ὑπὸ ἄφρονος ἀγανακτήσεως (insania), ὥστε ἔγραψε τοῖς ἁπανταχοῦ ἐπισκόποις, κατηγορῶν τοῦ Ὠριγένους, καί, μηδεμιᾶς ἄλλης εὐπορῶν κατηγορίας, ἐμνημόνευσε τῆς πράξεως τοῦ νεανικοῦ αὐτοῦ ζήλου, ἣν πρότερον ἐθαύμασεν (2). Ὁ Ὠριγένης ἐπανῆλθεν εἰς Ἀλεξάνδρειαν· ὁ Δημήτριος ἔγνω καταδικάσαι αὐτὸν δι' ἐκκλησιαστικοῦ δικαστηρίου. Περὶ τούτου γράφει ὁ Φώτιος τάδε: «Δημήτριος Ἀλεξανδρείας ἐπεσκόπει, ὃς Ὠριγένην δι' ἐπαίνων εἶχε καὶ εἰς τοὺς φιλτάτους συνέταττεν. Ἀλλ' Ὠριγένης μέλλων ἀπαίρειν εἰς Ἀθήνας χωρὶς τῆς τοῦ οἰκείου γνώμης ἐπισκόπου εἰς πρεσβύτερον, οὐδὲν δέον, ἀναβιβάζεται. Θεότεκνος (κατ' Εὐσέβιον καὶ Ἱερώνυμον Θεόκτιστος) δ' ἦν ὁ κατὰ Καισάρειαν τὴν ἐν Παλαιστίνῃ τὸν ἀρχιερατικὸν χειρίζων νόμον ὁ τῆς Ὠριγένους αὐτουργὸς χειροτονίας, ἔχων συνευδοκοῦντα καὶ τὸν Ἱεροσολύμων Ἀλέξανδρον. Τρέπεται διὰ τοῦτο Δημητρίῳ εἰς μῖσος τὸ φίλτρον, καὶ οἱ ἔπαινοι πρὸς τοὺς ψόγους, καὶ σύνοδος ἀθροίζεται κατὰ Ὠριγένους ἐπισκόπων καί τινων πρεσβυτέρων. Ἡ δέ, ὡς ὁ Πάμφιλός φησι, ψηφίζεται μεταστῆναι μὲν ἀπὸ Ἀλεξανδρείας τὸν Ὠριγένην, καὶ μήτε διατρίβειν ἐν αὐτῇ, μήτε διδάσκειν· τῆς μέντοι τοῦ πρεσβυτερίου τιμῆς οὐδαμῶς ἀποκεκινῆσθαι. Ἀλλ' ὅγε Δημήτριος ἅμα τισὶν ἐπισκόποις Αἰγυπτίοις καὶ τῆς ἱερωσύνης ἀπεκήρυξε, συνυπογραψάντων καὶ τῇ ἀποφάσει τῶν συμψήφων αὐτῷ γεγενημένων» (3). Ταῦτα πάντα συνέβησαν τῷ 231—32ῳ ἔτει. Περὶ τῆς εἰς τὸν βαθμὸν τοῦ πρεσβυτέρου χειροτονίας τοῦ Ὠριγένους ὁ Ἱεροσολύμων Ἀλέξανδρος ἔγραψε τῷ Δημητρίῳ, ὅτι ὁ Ὠριγένης ἐχειροτονήθη κατὰ τὴν συστατικὴν αὐτοῦ ἐπιστολὴν (epistola formata), δηλ. κατ' ἐκείνην τὴν ἐπιστολήν, ἐν

(1) Rufin. lib. 2. in Hieron. Ἐπιφάν. αἱρ. 61. Ὠριγ. ἐπιστ. πρὸς τοὺς ἐν Ἀλεξανδρ. φίλους Apud. Rufin. Εὐσέβ. Ἐκκλ. ἱστορ. ς'. 23.

(2) Hieron. in catal. c. 54. Εὐσέβ. Ἐκκλ. ἱστορ. ς'. 26.

(3) Βιβλιοθ. ἀναγν. ριη'. Πρβλ. Εὐσέβ. Ἐκκλ. ἱστορ. ς'. 26.

ἡ ὁ ἐπίσκοπος ἐμαρτύρει περὶ τοῦ Ὠριγένους ὡς ὀρθοδόξου υἱοῦ τῆς Ἐκκλησίας, εἰ μόνον οὐκ ἐποιεῖτο σύναμα λόγον καὶ περὶ τῶν ἐξόχων αὐτοῦ χαρισμάτων (*). Ἐν τῷ μετὰ ταῦτα ἔγραψεν ὁ Ὠριγένης πρὸς τοὺς ἐν Ἀλεξανδρείᾳ φίλους αὐτοῦ: «Τινὲς τῶν ἐφιεμένων κατακρίνειν τὸν πλησίον ἀποδιδοῦσιν ἡμῖν τε καὶ τῇ διδασκαλίᾳ ἡμῶν βλασφημίαν, ἣν παρ' ἡμῶν οὐδέποτε ἤκουσαν . . . λέγοντες, ὅτι δῆθεν ἀπεφηνάμεθα, ὅτι ὁ πατὴρ τῆς ἀσεβείας καὶ τῆς ἀπωλείας, ὁ ἐκ τῆς βασιλείας τοῦ Θεοῦ διωχθεὶς—ὁ Διάβολος σωθήσεταί ποτε.» Λέγει, ὅτι τοιαύτην διδασκαλίαν οὐδέποτε ἐδίδαξεν, ὅτι τὰ συγγράμματα αὐτοῦ ἐνοθεύθησαν, καὶ δὴ ὑπὸ τὸ ὄνομα αὐτοῦ ἐξεδόθησαν τοιαῦτα, ἃ οὐδέποτε εἶδε· πρὸς ἀπόδειξιν δὲ τοῦ τελευταίου ἐμνημόνευσε δύο συγγραμμάτων, ὧν τὸ νόθον ὡμολόγησαν αὐτοὶ οἱ αἴτιοι. «Εἴ τις, λέγει, πιστεύει μοι, ἐνώπιον αὐτοῦ τοῦ Θεοῦ λέγοντι, πιστευέτω καὶ ἐκείνῳ, ὅπερ λέγω περὶ τῶν πλασμάτων καὶ τῶν προσθηκῶν τῶν ἐν τῇ ἐπιστολῇ μου εἰσρυεισῶν· ὁ δὲ μὴ πιστεύων, ἀλλὰ βουλόμενος κατ' ἐμοῦ λέγειν, οὐδαμῶς βλάπτει με, ἀλλὰ μόνον αὐτὸς ἔσται ψευδομάρτυς ἐνώπιον τοῦ Θεοῦ». Περὶ δὲ τῶν διωξάντων αὐτὸν λέγει: « ὀφείλομεν μᾶλλον λυπεῖσθαι αὐτοὺς ἢ φθονεῖν αὐτοῖς, δέεσθαι ὑπὲρ αὐτῶν, ἀλλὰ μὴ καταρᾶσθαι» (¹). Ἐκ τῶν λόγων τοῦ Ὠριγένους οὐδαμῶς γίγνεται δῆλον, ὅτι ἐξήνεγκον κατ' αὐτοῦ τὰς κατηγορίας, περὶ ὧν λέγει, ἐν τῇ συνόδῳ· ἀπολογεῖται μόνον, ὅτι ἐν ταῖς ἀπὸ στόματος διδασκαλίαις οὐκ ἐδίδασκεν, ὡς δόγμα τῆς πίστεως, ἐκεῖνο, ὅπερ ἀποδιδοῦσι τῇ διδα-

(*) *Litterae communicatoriae* (August. ep 44.) *γράμματα κοινωνικὰ* (Ἐπ. συν. Ἀντιοχ. τῷ 270 παρ' Εὐσεβ. ζ, 30), epistolæ formatae (optav. Milev de Donat. 2. 3), *γράμματα κανονικὰ* (Λαοδ. καν. 41) ἦσαν τοιαῦται ἐπιστολαί, αἷς ὁ ἐπίσκοπος ἐποιεῖτο τὰς ἑαυτοῦ ἐκκλησιαστικὰς ἀνακοινώσεις μετὰ τῶν ἄλλων ἐπισκόπων κατὰ τὴν εἰς τὸν ἐπισκοπικὸν θρόνον ἀνάβασιν αὐτοῦ, ἢ ἐν ἄλλῃ ἰδίᾳ περιστάσει. Διὰ δὲ τῶν αὐτῶν γραμμάτων ὁ ἐπίσκοπος συνίστη πάντα ὑφ' ἑαυτὸν κληρικόν, ἀπερχόμενον μόνον εἰς ἄλλην ἐπαρχίαν, ὡς δυνάμενον γενέσθαι δεκτὸν εἰς κοινωνίαν ἐν πάσῃ ὀρθοδόξῳ Ἐκκλησίᾳ ἄνευ ἀμφιβολιῶν Ἴδ. Cyprien. epist. LV. c. 9.

(¹) Ἐπιστ. πρὸς τοὺς ἐν Ἀλεξανδρ· φίλους σελ. 6. Τ. Α. Ἐκ τῆς ἐπιστολῆς ταύτης διεσώθησαν μόνον τεμάχια ἐν τῇ λατιν. μεταφρ.

σκαλίᾳ αὐτοῦ. Ἐν τῇ πρὸς τὸν ἐπίσκοπον τῆς Ρώμης Φαβιανὸν ἐπιστολῇ, δέκα ἔτη μετὰ τὴν σύνοδον, ἔγραψεν, ὅτι εἰσέφρησαν ἐν τοῖς συγγράμμασιν αὐτοῦ σφάλματα, ἀλλ᾽ αἴτιος τῆς δυστυχίας ἦν ὁ Ἀμβρόσιος, ὁ παρὰ τὴν θέλησιν αὐτοῦ ἐκδοὺς καὶ ἐκεῖνα τὰ συγγράμματα αὐτοῦ, ἃ συνίσταντο ἐξ οἰκιακῶν ὑπομνηματισμῶν [1]. Τὰ ἐπακολουθήματα τῆς συνόδου δεικνῦσιν, ὅτι ἐν αὐτῇ οὐ κατεκρίθη ἡ διδασκαλία τοῦ Ὠριγένους, ἀλλ᾽ ἀπέβλεψαν εἰς τὴν χειροθεσίαν αὐτοῦ. Περὶ τῶν συγγραμμάτων αὐτοῦ ἐγένετο λόγος μόνον, ὅτε εἶδον, ὅτι πολλοῖς οὐκ ἤρεσκεν ἡ ἀπόφασις τῆς συνόδου.

Ἕνεκα τῆς ἐν Ἀλεξανδρείᾳ ἐγερθείσης θυέλλης ὁ Ὠριγένης ἀπῆλθεν εἰς Καισάρειαν τῆς Παλαιστίνης. Ὁ Δημήτριος διέπεμψε τὰ ψηφίσματα τῆς συνόδου αὐτοῦ πρὸς ἅπαντας τοὺς ἐπισκόπους. Ἀλλ᾽ ἐν ᾧ τινες τῶν ἐπισκόπων ἐδέξαντο ἀνεξετάστως τὴν ἐπιστολὴν τοῦ Δημηρίου, αἱ Ἐκκλησίαι τῆς Παλαιστίνης, τῆς Ἀραβίας, τῆς Φοινίκης, τῆς Ἀχαΐας, καὶ τῆς Καππαδοκίας, ἔνθα ἐγίνωσκον καλῶς τὴν ὑπόθεσιν τοῦ Ὠριγένους, ἐκηρύχθησαν ὑπὲρ αὐτοῦ [2].

(1) Hieron. epist. ad Pammahc. c. 10. « Ipse Origenes in epistola, quam scripsit ad Fabianum, Romanæ urbis episcopum, pœnitentiam agit cur talia scripserit, et causam temeritatis in Ambrosium confert, quod secreto edita in publicum protulerit. » Εὐσέβ. ς΄. 36. « Γράφει δὲ καὶ Φαβιανῷ τῷ κατὰ Ρώμην ἐπισκόπῳ ἑτέροις τε καὶ πλείστοις ἄρχουσιν Ἐκκλησιῶν περὶ τῆς κατ᾽ αὐτὸν ὀρθοδοξίας ».

(2) Hieron. epist. 29 ad Paulam: « Damnatur a Demetrio episcopo, exceptis Palestinæ, et Arabiæ, et Phœniciæ atque Achaiæ sacerdotibus. In damnationem ejus cont consentit urbs Romanæ; ipsa contra hunc senatum cogit, non propter dogmatum novitatem, non propter hæresin, ut nunc adversus eum rabidi canes simultant, sed quia gloriam eloquentiæ ejus et scientiæ ferre non poterant, et illo dicente omnes muti putabantur». Rufin Hin ieron T. 2. August. contr. Donat. c. XXV. Ἡλίκος ἦν ὁ κατὰ τοῦ Ὠριγένους ἐρεθισμὸς δύναταί τις ἰδεῖν καὶ ἐκ τῶν ἑπομένων αὐτοῦ λόγων: Εἰ ἐγὼ εἰρήκειν *τὸ μωρὸν τοῦ Θεοῦ* πῶς ἂν οἱ φιλαίτιοι ἐκάλεσάν με; πῶς ἂν ἐμέμψαντό μοι; πῶς ἂν χιλίων μὲν εἰρημένων τῶν νομιζομένων καὶ αὐτοῖς καλῶν, τοῦτο δέ, ὡς οἴονται οὐ καλῶς εἰρημένον, κατηγορήθη διότι εἶπον *τὸ μωρὸν τοῦ Θεοῦ*; (Ὁμιλ. η, εἰς Ἱερεμ. § 8. ).

Οἱ ἐπίσκοποι Ἀλέξανδρος καὶ Θεόκτιστος ἐπέτρεψαν αὐτῷ ἐκφωνεῖν λόγους, καὶ αὐτοὶ ἠκροῶντο αὐτοῦ. Καὶ ἐκ τοῦδε (τοῦ χειμῶνος) ἐπιπεσόντος προσεληλυθότες ἐξειλκύσθημεν ἀπὸ τῆς Αἰγύπτου, ρυσαμένου ἡμᾶς τοῦ Θεοῦ, τοῦ ἐξαγαγόντος τὸν λαὸν αὐτοῦ ἀπ' αὐτῆς," ἔγραψε τότε ἐν τῇ συνεχείᾳ τῆς εἰς τὸν Ἰωάννην ἑρμηνείας αὐτοῦ(*). Ἐνταῦθα ἔγραψε πρὸς τοῖς ἄλλοις τὸ περὶ εὐχῆς σύγγραμμα, ἀφιερώσας αὐτὸ τῷ Ἀμβροσίῳ. Ἐκ διαφόρων μεμακρυσμένων χωρῶν συνέρρεον, ὡς καὶ πρότερον, πρὸς αὐτὸν ἀκροαταί (1). Φιρμιλιανὸς ὁ Καππαδοκίας, ἐπίσημος συναγωνιστὴς τοῦ ἁγίου Κυπριανοῦ, προσεκάλεσε καὶ πρὸς ἑαυτὸν τὸν Ὠριγένην, καὶ αὐτός, ὅτε ἐπεσκέψατο τοὺς ἁγίους τόπους, ἔμεινεν ἐπὶ μακρὸν ἐν Καισαρείᾳ παρὰ τῷ Ὠριγένει ἀκροώμενος τῶν ὁμιλιῶν αὐτοῦ. Πρὸς αὐτόν, ὡς πρότερον, ἀπετείνοντο καὶ ἐπίσκοποι ἐξαιτούμενοι τὰς συμβουλὰς αὐτοῦ (2).

Ἐν τῷ διωγμῷ τοῦ Μαξιμίνου (τῷ 235) ὁ φίλος τοῦ Ὠριγένους Ἀμβρόσιος, καί τις πρεσβύτερος τῆς Καισαρείας Πρωτόκτητος προσήχθησαν τῷ Αὐτοκράτορι. Ὁ Ὠριγένης ἔγραψε τότε αὐτοῖς τὸν εἰς μαρτύριον προτρεπτικὸν λόγον. Ὁ Αὐτοκράτωρ πρὸ πάντων ἠβούλετο συλληφθῆναι τὸν Ὠριγένην (3), ἀλλ' οὗτος ἐκρύβη ἐν Καισαρείᾳ τῆς Καππαδοκίας παρὰ τῷ ἐπισκόπῳ Φιρμιλιανῷ(4). Ὅτε δὲ οἱ σεισμοὶ ἤγειραν καὶ ἐνταῦθα κατὰ τῶν Χριστιανῶν τὸ μῖσος τοῦ λαοῦ, ἐκρύβη ἐν τῷ οἴκῳ Χριστιανῆς τινος παρθένου, Ἰουλιανῆς καλουμένης, ἔνθα διέτριψε δύο ἔτη ἀσχολούμενος περὶ τὴν παραβολὴν τῆς Ἀλεξανδρινῆς μεταφράσεως τῆς ἁγίας Γραφῆς πρὸς τὸ ἑβραϊκὸν κείμενον καὶ περὶ ἄλλας μεταφράσεις(5). Μετὰ τὸ τέλος τοῦ διωγμοῦ (τῷ 238) ἀπεδήμησεν εἰς Βιθυνίαν καὶ Ἑλλάδα, ἔνθα ἔγραψε τὴν πρὸς τὸν Ἀφρικανὸν ἐπιστολήν, τὴν ἐρ-

(*) Εἰς Ἰωάν. Τ. 6. 1. Εὐσέβ. Ἐκκλ. ἱστορ. ϛ'. 24.

(1) Εὐσέβ. ϛ'. 30. Νικηφ. Ε. 20. Γρηγόρ. ὁ θαυματ. εἰς Ὠριγένην προσφωνητ. καὶ πανηγυρ. λόγος.

(2) Εὐσέβ. Ἐκκλ. ἱστορ. ϛ'. 27. Hieron. de vir. illustr.

(3) Ὀρόσιος βιβλ. ζ'. κεφ. 19. Βέδας, Μαριανὸς ὁ Σκῶτος.

(4) Εὐσέβ. ϛ'. 28. Hieron de vir. illustr. c. 60.

(5) Παλλάδ. ἐν Λαυσαϊκῷ 147. Εὐσέβ. ϛ'. 16. 17.

μηνείαν εἰς τὸν Ἰεζεκιὴλ καὶ εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων [1]. Μόλις ἐπανῆλθεν εἰς Παλαιστίνην, καὶ ἐδέησεν αὖθις ἀναχωρῆσαι εἰς Ἀραβίαν. Ὁ Βόστρων ἐπίσκοπος Βήρυλλος ἐδίδασκεν, ὅτι ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν οὐ προϋφίστατο κατ' ἰδίαν οὐσίας περιγραφὴν πρὸ τῆς εἰς ἀνθρώπους ἐπιδημίας, οὐδ' εἶχεν ἰδίαν θεότητα, ἀλλ' ἐνεπολιτεύετο αὐτῷ μόνη ἡ πατρική. Ὁ Ὠριγένης ἀπεστάλη ὑπὸ συνόδου ἐπισκόπων πρὸς ἔλεγξιν τῆς ψευδοδιδασκαλίας ταύτης, καὶ ἐξεπλήρωσεν ἐπιτυχῶς τὸ ἐπιτεταγμένον, ἀναγκάσας τὸν Βήρυλλον ὁμολογῆσαι τὴν πλάνην αὐτοῦ [2]. Μετ' οὐ πολλὰ δ' ἔτη ἡ παρουσία τοῦ Ὠριγένους ἐν τῇ αὐτῇ Ἀραβίᾳ ἐθεωρήθη ἀναγκαία. Προσεκλήθη εἰς σύνοδον καὶ μετ' ἐπιτυχίας ἤλεγξε τοὺς ἀποπλανηθέντας ἐν ταῖς περὶ τῆς ἀθανασίας τῆς ψυχῆς ἐννοίαις. Μετὰ τῆς αὐτῆς δ' ἐπιτυχίας κατεπολέμησε τὴν αἵρεσιν τῶν Ἐλκεσαϊτῶν [3].

Ἄρχοντος Φιλίππου τοῦ Ἄραβος, οὗ τῷ οἴκῳ εἶχεν οἰκείως, ἔγραψε τὸ κατὰ Κέλσου σύγγραμμα, τὸ ὑπόμνημα εἰς τὸν Ματθαῖον εἰς τόμ. 25, εἰς τοὺς μικροὺς λεγομένους Προφήτας, καὶ τὰς ἐπιστολὰς πρὸς τὸν Αὐτοκράτορα Φίλιππον καὶ τὴν σύζυγον αὐτοῦ Σεβήραν. Καὶ μόνον νῦν, ὅτε ἦγε τὸ ἑξηκοστὸν ἔτος τῆς ἡλικίας αὐτοῦ, ἐπέτρεπε τοῖς ταχυγράφοις γράφειν τὰς ὑπ' αὐτοῦ καθ' ἑκάστην ἐκφωνουμένας ὁμιλίας [4]. Κατὰ τὸν διωγμὸν τοῦ Δεκίου ἠξιώθη ὁ Ὠριγένης τῆς δόξης τοῦ ὁμολογητοῦ τοῦ Χριστοῦ· σιδήρῳ καὶ πυρὶ ἐβασάνισαν αὐτόν· ὑπέστη δεσμὰ καὶ λιμὸν ἐν τῇ εἱρκτῇ, ἀλλὰ πάντα καρτερῶς ἤνεγκε. Τέλος ἐπὶ τῶν Αὐτοκρατόρων Γάλλου καὶ Οὐολλουσιανοῦ διὰ πείρας ἐλθὼν τῆς τε δόξης καὶ ὕβρεως ἑνὸς δέοντα τῆς ζωῆς ἑβδομήκοντα ἀποπλήσας ἔτη, ἐτελεύτησεν ἐν Τύρῳ τῷ διακοσιοστῷ πεντηκοστῷ σωτηρίῳ ἔτει [5].

---

(1) Εὐσέβ. ς'. 36. Ἡ εἰς τὸν Ἡσαΐαν ἑρμηνεία ἐγράφη πρότερον ἐν Καισαρείᾳ.

(2) Εὐσέβ. ς'. 33. Hieron de vir illustr. c. 60.

(3) Εὐσέβ. ς'. 37. 38. Θεοδ. αἱρετ. κακομυθ. βιβλ. β'. 7. Νικηφ. ἐκκλ. ἱστορ. Ε, 24.

(4) Εὐσέβ. ς'. 36. Hieron. de vir. illustr. c. 60. Roem comment. in Math.

(5) Εὐσέβ. ς'. 39. «Τὰ μὲν Ὠριγένει κατὰ τὸν διωγμὸν συμβάντα οἷα καὶ ὅσα, καὶ ὁποίας ἔτυχε τελευτῆς, τοῦ πονηροῦ δαίμονος ἐφαμίλλως τῷ ἀνδρὶ πανστρατιᾷ παραταξαμέ-

## § 91. *Ἰδιότητες αὐτοῦ καὶ πονήματα·*
### 1.) *περὶ τὴν ἁγίαν Γραφήν· α.) φιλολογικά.*

Οὐ ῥᾴδιον εὑρεῖν ἄνδρα ἔχοντα τοιαῦτα ἔξοχα χαρίσματα, συνηνωμένα τηλικαύτῃ ἀκαταβλήτῳ φιλοπονίᾳ ὑπὲρ τῆς Ἐκκλησίας, οἷος ὁ Ὠριγένης. Ἡ σταθερότης τοῦ πνεύματος αὐτοῦ ἐν τοῖς κινδύνοις, ἡ ὑπομονὴ ἐν ταῖς θλίψεσιν, ἡ πρᾳότης πρὸς τοὺς ὑβρίζοντας αὐτόν, ἡ πρὸς ἑαυτὸν αὐστηρότης, ἐξισοῦντο τῷ ζήλῳ αὐτοῦ ὑπὲρ τῆς ἀληθείας τοῦ Χριστοῦ, ὁ δὲ ζῆλος ἠνάγκαζεν αὐτὸν μοχθεῖν ὅσον οὐ πολλοί. Ἡ μνήμη αὐτοῦ ἦν καταπληκτική, εὐρεῖα, καὶ ἰσχυρά, ὁ νοῦς πεπροικισμένος ἐξόχοις διανοήμασι καὶ λογικῇ ἀγχινοίᾳ· ἡ φαντασία ζωηρά, ἀλλὰ δυστυχῶς καὶ οὐ μικρᾶς βλάβης ἐγένετο παραίτιος (1).

---

νου, πάσῃ τε μηχανῇ καὶ δυνάμει κατ' αὐτοῦ στρατηγήσαντος, παρὰ πάντας τε τοὺς τηνικάδε πολεμηθέντας διαφερόντως ἐπισκήψαντος αὐτῷ, οἷα τε καὶ ὅσα διὰ τὸν Χριστοῦ λόγον ὁ ἀνὴρ ὑπέμεινε δεσμὰ καὶ βασάνους τὰς κατὰ τοῦ σώματος, τάς τε ὑπὸ σιδήρῳ κλοιῷ καὶ μυχοῖς εἱρκτῆς τιμωρίας, καὶ ὡς ἐπὶ πλείσταις ἡμέραις τοὺς πόδας ὑπὸ τέσσαρα τοῦ κολαστηρίου ξύλου παραταθεὶς διαστήματα πυρός τε ἀπειλὰς καὶ ὅσα ἄλλα πρὸς τῶν ἐχθρῶν ἐπενεχθέντα καρτερῶς ἤνεγκεν, οἵου τε τὰ κατ' αὐτὸν ἔτυχε τέλους, μηδαμῶς αὐτὸν ἀνελεῖν παντὶ σθένει τοῦ δικαστοῦ φιλονείκως ἐνστάντος, ὁποίας τε μετὰ ταῦτα καταλείπει φωνάς, καὶ αὐτὰς πλήρεις τοῖς ἀναλήψεως δεομένοις ὠφελείας, πλεῖσται ὅσαι τ' ἀνδρὸς ἐπιστολαὶ τ' ἀληθὲς ὁμοῦ καὶ ἀκριβὲς περιέχουσι ζ'. ι'.» Hieron de vir. illustr. c. 54.

Φωτ. βιβλιοθ. ἀναγν. ριη'. «Φασὶ δὲ αὐτὸν ὅ τε Πάμφιλος μάρτυς καὶ ἕτεροι πλεῖστοι, οἵτινες ἀπ' αὐτῶν τῶν ἑωρακότων Ὠριγένην τὰ περὶ τοῦ ἀνδρὸς ἠκριβώσαντο, διαβοήτῳ μαρτυρίῳ τοῦ βίου ἐξεληλυθέναι ἐπ' αὐτῆς τῆς Καισαρείας, Δεκίου τὴν κατὰ τῶν Χριστιανῶν ὠμότητα πνέοντος. Οἱ δὲ φασιν αὐτὸν ἕως Γάλλου καὶ Βολουσιανοῦ διαρκέσαντα, καὶ ἑξηκοστὸν ἔνατον ἔτος τῆς ἡλικίας ἄγοντα, ἐν Τύρῳ καὶ τελευτῆσαι καὶ ταφῇ παραδοθῆναι. Ἔστι δὲ μᾶλλον οὗτος ὁ λόγος ἀληθής, εἴ γε αἱ φερόμεναι αὐτοῦ μετὰ τὸν Δεκίου διωγμὸν ἐπιστολαὶ οὐκ ἔχουσι τὸ πλαστόν».

(1) Περὶ τοῦ ὄντως θαυμασιωτάτου Ὠριγένους λέγει ὁ Οὐϊγκέντιος Λιριναῖος τάδε : In Origene plura adeo præclara, adeo singularia, adeo mira exstiterunt, ut inter initia habendam adsertionibus ejus fidem quivis facile judicaret. Nam

Ὁ Ὠριγένης ἐγένετο γονιμώτατος συγγραφεύς. Ἔγραψε τοσαῦτα, λέγει ὁ Ἱερώνυμος, ὅσα ἄλλος μόλις δύναται ἀναγνῶναι. Ὁ

si vita facit autoritatem, magna illi industria, magna pudicitia, patiencia, tolerantia. Si genus vel eruditio, quid eo nobilius qui primum in ea domo natus est quæ est illus trata martyrio, deinde pro Christo, non solum patre, sed omni quoque facultate privatus, tantum inter sanctae paupertatis profecit angustias, ut pro nomine dominicæ confessionis sæpius, ut ferunt, adfligeretur. Neque vero hæc in illo sola erant, qnæ cuncta postea tentationis forent, sed tanta etiam vis ingenii, tam profundi, tam acris, tam elegantis, ut omnes pene multum longeque superaret: tanta doctrinae ac totius eruditionis magnificentia, ut pauca forent divinæ, pene fortasse nulla humanæ philosophiæ, quæ non penitus adsequeretur; cujus scientiæ cum Græca concederent, Hebræa quoque elaborata sunt. Eloquentiam vero quid memorem, cujus fuit tam amoena, tam lactea, tam dulcis oratio, ut mihi ex ore ipsius non tam verba quam mella quædam fluxisse videantur? Quæ non ille persuasu difficilia disputandi viribus elimpidavit? Quæ factu ardua non ut facillima viderentur, effecit? Sed forsitam argumentorum tantum modo nexibus adsertiones suas texuit? Immo plane nemo unquam magistrorum fuit, qui pluribus divinae legis uteretur exemplis. Sed, credo, pauca conscripsit? Nemo mortalium plupa; ut mihi sua omnia non solum non perlegi, sed ne inveniri quidem posse videantur. Cui ne quicquam ad scientiæ instrumenta deesset, etiam plenitudo exabundavit ætatis» (Commonit. c. 23. pag. 342). Τὴν μεγαλοφυΐαν καὶ πάσας τὰς ἀρετὰς τοῦ Ὠριγένους λαμπρῶς καὶ δικαίως ἐνεκωμίασε καὶ ὁ περικλεὴς Ὑέτιος (Origenian. l. I. c. IV. 8. «Ἐκ τοῦ ἐκτεθέντος βίου τοῦ Ὠριγένους, λέγει καὶ ὁ πολυσέβαστος Κοντογόνης, γίνεται δῆλον, ὅτι ὁ μέγας οὗτος ἀνήρ, καὶ διδάσκων καὶ συγγράφων, διηκόνισε ὑπερβαλόντως, καὶ ὡς οὐδεὶς ἄλλος τὴν Ἐκκλησίαν. Τὸν ἔξοχον αὐτοῦ νοῦν, τὴν σπανίαν εὐφυΐαν, τὴν πολυειδῆ παιδείαν, τὴν ἀκαταπόνητον δραστηριότητα ὑπὲρ τῆς σωτηρίας τῶν πιστῶν, καὶ τελευταῖον τὰς προσωπικὰς αὐτοῦ ἀρετὰς ἐγκωμιάζουσιν ἀνεξαιρέτως πάντες, καὶ αὐτοὶ οἱ διακηρυχθέντες ἐχθροὶ αὐτοῦ, καὶ ἡ ἐκκλησιαστικὴ ἱστορία δὲν ἔχει σχεδὸν ν' ἀντιπαραθέσῃ πρὸς αὐτὸν ἄλλον ἄνδρα, ἴσον καθ' ὅλα ταῦτα τὰ πλεονεκτήματα». (Φιλολογ. καὶ κριτ. ἱστορ. τῶν ἁγ. Πατ. Τ. Α. σελ. 411.) Σ. Μ.

ἀριθμὸς τῶν ὁμιλιῶν αὐτοῦ ὑπερέβαινε τὰς χιλίας· τὰ δ' ὑπομνήματα αὐτοῦ ἦσαν ἀναρίθμητα (¹). Κατὰ δὲ τὸν Ἐπιφάνιον ὁ ἀριθμὸς ἁπάντων αὐτοῦ τῶν συγγραμμάτων συνεποσεῖτο εἰς ἓξ χιλιάδας (²). Ὁ ἀριθμὸς οὗτος οὐκ ἔστιν ὑπερβολικὸς γενομένης ἰδίᾳ τῆς ἀπαριθμήσεως τῶν βιβλίων ἑκάστου τῶν ὀγκωδῶν αὐτοῦ συγγραμμάτων καὶ τῶν ἐπιστολῶν. Ἔγραψε δὲ ταῦτα οὐκ ἐκ πάθους πρὸς τὸ συγγράφειν, ἀλλ' ἐξ ἀνάγκης. Αὐτὸς οὕτω βαθέως ᾐσθάνετο ὅσον δυσχερὲς τὸ συγγράφειν ὑπομνήματα εἰς τὴν ἁγίαν Γραφήν, καὶ οὐ μετὰ προθυμίας ἐπεχείρει τῷ ἔργῳ· ἐπελαμβάνετο δ' αὐτοῦ ἀείποτε μετὰ προσευχῆς (³), καὶ ἔγραφε πάντοτε κατὰ τὰς ἀπαιτήσεις τῶν ἀναγ-

(¹) Hieron. ep. 65. ad Pammach. Mille et eo amplius tractatus, quos in Ecclesia locutus est, edidit. innumerabiles præterea commentarios, quos ipse appelat tomos, et quos nunc prætereo, ne videar operum ejus indicem texere. quis nostrum tanta potest legere, quanta ille conscripsit?

(²) Ἐπιφ. αἱρ. 64. κεφ. 63. «Ὡς τοσαῦτα μοχθήσας, καὶ εἰς μάτην ἐλάσας τὸν περὶ τοσούτων βίβλων συγγραφῆς ἀγῶνα· εἰ γάρ ἐστιν ἀληθές, ὃ περὶ σοῦ ᾄδεται, ὅτι ἑξακισχιλίους βίβλους συνεγράψω, ὦ ματαιοπόνε».

(³) Ὠριγ. ὑπόμν. εἰς ψαλμ. I. Opp. Tom. I. pag. 526. « Ταῦτα δὲ ἡμῖν ἐν προοιμίῳ λέλεκται, εἰς μέγιστον ἀγῶνα, καὶ ὁμολογουμένως ὑπὲρ ἡμᾶς, καὶ τὴν ἕξιν ἡμῶν, ἀναγκαζομένοις ὑπὸ τῆς πολλῆς σου φιλομαθείας, καὶ δυσωπουμένοις ὑπὸ τῆς χρηστότητος καὶ τῆς μετριότητός σου, ἱερὲ Ἀμβρόσιε, κατελθεῖν· καὶ ὅτι γε ἐπὶ πολὺ ἀναδυόμενόν με, διὰ τὸ εἰδέναι τὸν κίνδυνον, οὐ μόνον τοῦ λέγειν περὶ τῶν ἁγίων, ἀλλὰ πολλῷ πλεῖον τοῦ γράφειν, καὶ τοῖς μεθ' ἡμᾶς καταλιπεῖν, παντοδαπῶς κατεπᾴδων φιλικῶς, καὶ κατὰ προκοπὴν θεότητος εἰς τοῦτο ἤγαγές με. Μάρτυς ἔσο μοι πρὸς Θεόν, μεθ' ὅλου τοῦ βίου, καὶ περὶ τῶν ὑπηγορευμένων ἐξεταζόμενον, ποίᾳ τε προθέσει τοῦτο γεγένηται· καὶ πὴ μὲν ἐτυγχάνομεν, πὴ δὲ ἤτοι βιαζόμεθα βιαιότερον, ἢ δοκοῦμέν τι λέγειν· ἐξιχνεύσαμεν δὲ τὸ γεγραμμένον, οὐ καταφρονοῦντες τοῦ: *Ὅτε λέγεις περὶ Θεοῦ κρίνῃ ὑπὸ Θεοῦ*, καλῶς εἰρημένου· καὶ τό: *περὶ Θεοῦ καὶ τ' ἀληθῆ λέγειν κίνδυνος οὐ μικρός*. Ἀξιοῦμεν τοίνυν, ἐπεὶ μηδὲν χωρὶς Θεοῦ καλὸν εἶναι δύναται, καὶ μάλιστα νόησις Γραφῶν θεοπνεύστων, ὅπως τῷ Πατρὶ τῶν ὅλων Θεῷ, διὰ τοῦ Σωτῆρος ἡμῶν καὶ Ἀρχιερέως γεννητοῦ Θεοῦ, προσιέναι, αἰτήσεις δοθῆναι ἡμῖν πρῶτον καλῶς ζητεῖν.

κῶν τῆς Ἐκκλησίας. Οἱ αἱρετικοὶ ὑπερηφανεύοντο τότε ἐπὶ τοῖς εἰ τὴν ἁγίαν Γραφὴν ὑπομνήμασιν αὐτῶν, οἱ δὲ ὀρθόδοξοι, ἀναγινώσκοντες αὐτά, οὐκ ἔμενον ἄνευ ψυχικῆς βλάβης. Τούτου ἕνεκα ἠσχολήθη τοσοῦτον περὶ τὴν ἑρμηνείαν τῶν θείων Γραφῶν (1).

Ἅπαντα τὰ συγγράμματα τοῦ Ὠριγένους κατὰ τὴν διάφορον αὐτῶν ὕλην καὶ τὴν ὑπόθεσιν δύνανται ἀναχθῆναι εἰς τέσσαρας τάξεις· εἰς τὴν πρώτην—οἱ περὶ τὴν ἁγίαν Γραφὴν πόνοι, εἰς τὴν δευτέραν—τὰ ἀπολογητικὰ συγγράμματα, εἰς τὴν τρίτην—τὰ δογματικά, εἰς τὴν τετάρτην—τὰ ἠθικά (2).

---

Ἐπίκειται γὰρ τοῖς ζητοῦσιν ἐπαγγελία τοῦ εὑρίσκειν· τάχα οὐδὲ τὴν ἀρχὴν εἰς ζητοῦντας λογιζομένων παρὰ Θεῷ τῶν οὐχ ὁδῷ ἐπὶ τοῦτο προϊόντων.

(1) Τόμ. Ε. εἰς Ἰωάννην: «. . . Εἰ τοίνυν ταῦτα πεῖσαι ἡμᾶς δύναται, τί ποτέ ἐστι τὸ ἓν βιβλίον, καὶ τί τὰ πολλά, νῦν μᾶλλον φροντίζω οὐ διὰ τὸ πλῆθος τῶν γραφομένων, ἀλλὰ διὰ τὴν δύναμιν τῶν νοουμένων, μήποτε περιπέσω τῷ παραβαίνειν τὴν ἐντολήν, ἐάν τι παρὰ τὴν ἀλήθειαν, ὡς ἀλήθειαν ἐκθῶμαι, κἂν ἐν ἑνὶ τῶν γραφομένων. Ἐκεῖ γὰρ ἔσομαι γράψας βιβλία πολλά· καὶ νῦν δὲ προφάσει γνώσεως ἐπανισταμένων τῶν ἑτεροδόξων τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ, καὶ πολυβίβλους συντάξεις φερόντων, ἐπαγγελλομένας διήγησιν τῶν εὐαγγελικῶν καὶ ἀποστολικῶν διατάξεων, ἐὰν σιωπήσωμεν μὴ παπαρατιθέντες αὐτοῖς τὰ ὑγιῆ καὶ ἀληθῆ δόγματα, ἐπικρατήσουσι τῶν λίχνων ψυχῶν ἀπορίᾳ τροφῆς σωτηρίου, ἐπὶ τὰ ἀπηγορευμένα σπευδουσῶν, καὶ ἀληθῶς ἀκάθαρτα καὶ βδελυρὰ βρώματα. Διόπερ ἀναγκαῖόν μοι δοκεῖ εἶναι, τὸν δυνάμενον πρεσβεύειν ὑπὲρ τοῦ ἐκκλησιαστικοῦ Λόγου ἀπαραχαράκτως, καὶ ἐλέγχειν τοὺς τὴν ψευδώνυμον γνῶσιν μεταχειριζομένους, ἵστασθαι κατὰ τῶν αἱρετικῶν ἀναπλασμάτων ἀντιπαραβάλλοντα τὸ ὕψος τοῦ εὐαγγελικοῦ κηρύγματος, πεπληρωμένου συμφωνίας δογμάτων κοινῶν τῇ καλουμένῃ Παλαιᾷ πρὸς τὴν ὀνομαζομένην Καινὴν Διαθήκην».

(2) Αἱ ἄρισται τῶν ἐκδόσεών εἰσι: α'] Oper. omn. Gr. lat. T. 1—4. ed. a Carolo de la Rue, Baris, 1733—39. Ἐν τῷ τελευταίῳ τόμῳ, μετὰ τὸν θάνατον αὐτοῦ ἐκδοθέντι ὑπὸ τοῦ ἀνεψιοῦ αὐτοῦ Βικεντίου Ρουαίου, κατεχωρίσθη ἡ ἀξιόλογος τοῦ Ὑετίου εἰσαγωγὴ εἰς τὰ συγγράμματα τοῦ Ὠριγέννους· Origeniana. β'] denuo recens. emend. castig. Τὸ ἑλληνικὸν κείμενον ἄνευ μεταφράσεως, ed. Eduard. Lommatzsch. Berolini, 1833-48. Περὶ τῶν συμ-

1.] Τὰ περὶ τὴν ἁγίαν Γραφὴν συγγράμματα συνίστανται τὸ μὲν εἰς φιλολογικὰς καὶ ἱστορικὰς ἐρεύνας τοῦ ἱεροῦ κειμένου, τὸ δὲ εἰς ἑρμηνείαν τῆς ἁγίας Γραφῆς.

Α] Οἱ φιλολογικοὶ πόνοι ἦσαν πόνοι ἁπάσης σχεδὸν τῆς ζωῆς τοῦ Ὠριγένους. Νέος ἔτι ὢν (τῷ 211) ἤρξατο ἐπιθεωρεῖν τὸ ἑλληνικὸν κείμενον τῆς Παλαιᾶς Διαθήκης, καὶ τοῦτο διετέλεσε ποιῶν ἄχρι τοῦ τέλους τῆς ζωῆς αὐτοῦ (1). Ὁ Ὠριγένης εἶδεν, ὅτι ἐν τῷ ἑλληνικῷ κειμένῳ τῶν Ο ἑρμηνευτῶν παρεισέφρησαν πολλαὶ διαφοραὶ τὸ μέν, ὡς αὐτὸς γράφει, παρὰ τῶν ἀντιγραφέων, τὸ δέ, ἐκ τῆς τόλμης τῶν ἐπιδιωρθωτῶν τοῦ κειμένου (2). Αἱ διαφοραί, παντὶ

πληρωμ. ἴδ. σημ. 56 καὶ 74. Ἡ ἔκδοσις τοῦ Ρουαίου μετετυπώθη ὑπὸ τοῦ Μιγνίου, Patrol. T. XI--XVII.

(1) Ἴδ. σημ. 15. 30. 44. 45. 51.

(2) Ὑπόμν. εἰς Ματθ. Τ. 15. σελ. 671. εἰς Ἰωάν. Τ. 4. σελ. 141. Hieron. «editio vulgata, graece κοινὴ dicitur et in toto orbe diversa est». Proem. in lib. 16. Comment. in ses. ἴδ. καὶ ep. ad Sunnam et Fratelam. Ὁ Γράβε ἀπέδειξε διὰ παραδειγμάτων, ὅτι τὸ κείμενον τῶν Ο, ἦν ἐν κακῇ καταστάσει καὶ πρὸ τοῦ Ὠριγένους, ἐπὶ τοῦ Φίλωνος καὶ Ἰωσήπου (Grabe di vitiis LXX interpr. ante Origenis ævum illatis, Oxon. 1710). ἴδ. καὶ Φράγκελ Vorstudien zu der Septuaginta, Leip. 1841. §. 2-15. [Ὁ σοφώτατος Κ. ὁ Οἰκονόμος λέγει περὶ τοῦ ἱεροῦ κειμένου τῆς μεταφράσεως τῶν Ο, τάδε: «Καὶ ὅτι μὲν καὶ ἐπὶ Ὠριγένους ὑπῆρχον ἐν τῇ Ἐκκλησίᾳ τετηρημένα ἀκριβῆ τῶν Ο ἀντίγραφα, οἷς καὶ οἱ θεῖοι Πατέρες (τοσοῦτοι δὲ καὶ τηλικοῦτοι τὴν θείαν καὶ ἀνθρωπίνην σοφίαν) καὶ ἰδίᾳ καὶ δημοσίως ἐχρῶντο, μόνοις τοῖς πυρρωνισταῖς ἔξεστιν ἀμφιβάλλειν· ἵνα γὰρ τ' ἄλλα παραλίπωμεν, αὐτὸς Ὠριγένης μνημονεύει *τὰ ἀκριβέστερα τῶν ἀντιγράφων*. Μήποτε δὲ καὶ ἐν τῇ κατηχητικῇ σχολῇ τῆς Ἀλεξανδρείας . . . . μηδὲ κατ' ἐκείνην τὴν σχολὴν ἐσώζοντο τῶν Ο ἀκριβῆ ἀντίγραφα; . . . . Κἂν ἀντιλέγωσιν οἱ φιλεριστοῦντες, ἀλλ' ἐκεῖνο γοῦν οὐκ ἀρνηθεῖεν, ὅτι τῶν ἀρχαίων πρωτοτύπων ἀντίγραφα διετηροῦντο πάντως κατὰ τὴν Ἀλεξάνδρειαν . . . . Ἀλλὰ σὺν πᾶσι τούτοις οὐκ εἰς μάτην ἐπόνησεν Ὠριγένης τὴν ἔκδοσιν τῶν Τετραπλῶν καὶ Ἑξαπλῶν. Οὐδὲν τῶν βιβλίων τῆς τοῦ κόσμου σοφίας ἀντεγράφη τοσάκις, καὶ ἐν τοσαύταις χώραις τῆς οἰκουμένης, ὡς τὰ τεύχη τῆς θείας Γραφῆς. Διὰ δὲ τὰς πολλὰς καὶ πυκνὰς ἀντιγραφὰς εἰσρρύησαν καὶ εἰς πολλὰ τῶν Ο ἀντίγραφα οὐκ ὀλίγα σφάλματα, ὡς αὐτὸς Ὠριγένης φησί. Ταῦτα τοίνυν

ἄλλῳ βιβλίῳ ἀπρεπεῖς, ἔτι ἧττον ἠδύναντο εἶναι ἀνεκταὶ ἐν τῷ βιβλίῳ τῶν βιβλίων. Ἀφ᾽ἑτέρου αὐτῷ τῷ Ὠριγένει, ὡς καὶ ἄλλοις, οὐχ ἅπαξ συνέβη ἀκοῦσαι τοὺς θρασεῖς τῶν Ἰουδαίων χλευασμοὺς ἐν ἐκείναις ταῖς περιστάσεσι, καθ᾽ ἃς ἐν ταῖς πρὸς αὐτοὺς φιλονεικίαις παρήγοντο χωρία τοῦ ἑλληνικοῦ κειμένου, μὴ εὑρισκόμενα ἐν τῷ πρωτοτύπῳ, ἢ οἱ Ἰουδαῖοι παρῆγον λέξεις μὴ ἀπαντώσας ἐν τῷ ἑλληνικῷ κειμένῳ τῆς Π. Δ. (1). Τοῦτο ἀπεδείκνυ, ὅτι ἦν ἀναγκαῖον ἐπιθεωρῆσαι καὶ παρεξετάσαι τὸ ἑλληνικὸν κείμενον τοῖς χειρογράφοις καὶ τῷ πρωτοτύπῳ. Ὁ Ὠριγένης ἐσπούδασε συλλέξαι καὶ ζητῆσαι τὰ ἄριστα καὶ ἀρχαιότατα τῶν ἀντιγράφων τοῦ ἐν γενικῇ χρήσει ὄντος ἑλληνικοῦ κειμένου, ἅπερ ἀντὶ πολλῶν χρημάτων ἐκτᾶτο ὁ Ἀμβρόσιος. Τῷ 217 εὗρεν ἐν Ἰεριχοῦντι κεκρυμμένην ἐν πίθῳ ἑλληνικὴν μετάφρασιν, κληθεῖσαν ὑπ᾽ αὐτοῦ πέμπτην. Ἐπὶ τοῦ Ἀλεξάνδρου Σευήρου (περὶ τὸ 228) ἐν Νικοπόλει κατὰ τὸ Ἄκτιον εὑρέθη ὑπ᾽ αὐτοῦ ἑτέρα μετάφρασις, ἣν ἐκάλεσεν ἕκτην (2). Ἄδηλον πότε εὑρέθη ἡ ἑβδόμη. Γνωστὸν μόνον, ὅτι ἡ πέμπτη, ἕκτη, καὶ ἑβδόμη μετάφρασις ἐγένοντο ὑπὸ χριστιανῶν (3). Πρὸς δὲ εὑρέθησαν αἱ μεταφράσεις: τοῦ Ἀκύλα, ἀκολουθήσαντος τῷ ἑβραϊκῷ

---

τὰ σφάλματα διώρθωσεν Ὠριγένης, πρός τε τὰ ἀκριβέστερα τῶν ἀντιγράφων παραβαλών, εἶτα δὲ (χάριν πλείονος βεβαιώσεως) καὶ πρὸς τὰς μεταγενεστέρας καὶ παρὰ τοῖς Ἰουδαίοις θρυλουμένας ἐκδόσεις τῶν τριῶν Ἀκύλα, Θεοδοτίωνος, Συμμάχου. . . . Καὶ ἐξέδωκε λοιπὸν ὁ Ἀδαμάντιος ἐν τοῖς Τετραπλοῖς τὸ κείμενον αὐτὸ τῆς Κοινῆς τῶν Ο, καθαρὸν καὶ ἀμετάβλητον, οἷον ἐξ ἀρχῆς ἐν τῇ Ἐκκλησίᾳ διετηρεῖτο, μήτε κολοβωθὲν καὶ περικαρέν, μήτε πάλιν προσθήκας τινὰς προσλαβόν, ἢ ὅλως ἀλλοιωθέν . . . » (περὶ τῶν Ο, ἑρμην. τῆς Π. Θ. Γρ. Τόμ. Δ. σελ. 870—73.) Σ. Μ.].

(1) Ὠριγ. ἐπ. πρὸς Ἀφρικ. σελ. 12.

(2) Ἐπιφάν. περὶ Μετρ. §. 18.

(3) Ὁ Ἱερώνυμος λέγει: «Ἔν τισι βιβλίοις, ἰδίως δὲ ἐν ἐκείνοις, ἃ ἐγράφησαν παρὰ τοῖς Ἑβραίοις διὰ στίχων, προσετέθησαν ἕτερα τρία, ἃ καλοῦνται πέμπτη, ἕκτη, καὶ ἑβδόμη μετάφρασις, καὶ νομίζονται ἀξιόλογοι, ἄνευ τοῦ ὀνόματος τῶν μεταφραστῶν». Comment. in cap. III. Titi. Νῦν εἰσι γνωσταὶ αἱ τρεῖς μεταφράσεις, ἀλλὰ μόνον κατὰ μέρη: εἰς τὸ βιβλίον τῶν ψαλμῶν καὶ εἰς τοὺς μικροὺς Προφήτας—εἰς τὴν ᾠδὴν τοῦ Ἀββακούμ—μία ἑβδόμη, εἰς τὸ Ἆσμα τῶν ᾀσμ. καὶ τὴν Πεντάτευχον—πέμπτη καὶ ἕκτη· εἰς τὸν

κειμένῳ μετὰ τῆς κατὰ γράμμα ἀκριβείας([1]), τοῦ Συμμάχου, σπουδάσαντος ἐκφράσαι τὴν ἔννοιαν τοῦ πρωτοτύπου καθαρᾷ ἑλληνικῇ γλώσσῃ ([2]), καὶ τοῦ Θεοδοτίωνος, μιμησαμένου τὴν μετάφρασιν τῶν Ο ([3]). Τοιαῦτα κτησάμενος βοηθήματα, συνέθετο τὴν

Ἰώβ καὶ τὰς Παροιμίας οὐδὲν διεσώθη. Ἡ πέμπτη μετάφρασις ἐγένετο ἀναμφιβόλως ἐκ τοῦ ἑβρ. κειμένου, ὡς γίγνεται δῆλον ἐκ τῆς μεταφρ. τοῦ ψαλ. ρλθ'. 10. Ἡ ἕκτη ἐγένετο ὑπὸ χριστιανοῦ (ἴδ. Ἀββακ. γ'. 13), καὶ ὡσαύτως τῇ βοηθείᾳ τοῦ ἑβραϊκοῦ κειμένου (ἴδ. ψαλμ. ρί. 3. 1.).

([1]) Ὁ Ἀκύλας, τὸ γένος Ποντικός, ἀκμάσας ἐπὶ τοῦ Αὐτοκράτορος Ἀδριανοῦ, προσήλυτος τοῦ ἰουδαϊσμοῦ, ἐγένετο μαθητὴς τοῦ Ραββὰν Ἀκιβᾶ. Τὴν μετάφρασιν αὐτοῦ ἐποιήσατο χάριν τῶν μεταξὺ τῶν Ἑλλήνων ζώντων Ἰουδαίων, παρ' οἷς ἡ μετάφρασις αὐτοῦ λίαν ἐτιμᾶτο (Ὠριγέν. πρὸς Ἀφρικ. σελ. 224. August. de civit Dei. XV. 23). Κατὰ τὸν Ἐπιφάνιον, ὁ Ἀκύλας ἐποιήσατο τὴν μετάφρασιν αὐτοῦ ἐκ φθόνου πρὸς τοὺς χριστιανοὺς καὶ τὴν μετάφρασιν τῶν Ο. Ἀλλὰ τοῦτο οὐκ ἔστι λίαν ἀξιόπιστον, ὡς ὑπετίθει ὁ Ἐπιφ. Βεβαίως ἀδύνατον προσδοκᾶν παρὰ Ἰουδαίου προσηλύτου ἀγάπην πρὸς τὸν χριστιανισμόν, καί τινα χωρία δεικνῦσι τὴν πρόθεσιν αὐτοῦ ἀποφυγεῖν τοὺς ἐλέγχους τοῦ χριστιανισμοῦ. Ἀλλ' ὁ Ἱερώνυμος, κάλλιον εἰδὼς τὴν ὑπόθεσιν, λέγει: Aquilam non contentiosius, ut quidam putant, sed studiosius verbum interpretari ad verbum». (Quaest. 2. ad Damas. tom. 3. pag. 35.): «Aquilae editionem cum voluminibus Hebraeorum confero, nequid forsitam propter odium Christi Synagoga mutaverit roborandam, plura reperio» (ep. ad Marcel. tom. 2. p. 312). Ἴδ. Montfaucon. praefat. ad Hexapla.

([2]) Ὁ Σύμμαχος, τὸ γένος Σαμαρείτης, *ἐκ τῶν παρ' αὐτοῖς σοφῶν* (Ἐπιφάν. περὶ Μέτρ. §. 16.), ἀγανακτήσας κατὰ τῶν ὁμοφύλων, προσῆλθε τοῖς Ἰουδαίοις, ἔπειτα τοῖς Χριστιανοῖς, καὶ ἀκολούθως ἔπεσεν ἐν ταῖς πλάναις τῶν Ἐβιωναίων. Ἠσχολήθη περὶ τὴν μετάφρασιν τῆς ἁγίας Γραφῆς ἐπὶ τοῦ Αὐτοκράτορος Ἀλεξάνδρου Σευήρου (τῷ 201-203). Ἡ μετάφρασις αὐτοῦ ἦν ἐν χρήσει παρὰ τοῖς χριστιανοῖς (Εὐσέβ. ἐκκλ. ἱστορ. ς'. 17). Τὴν μετάφρασιν τοῦ Συμμάχου καὶ τὰ ὑπομνήματα εἰς τὸ καθ' Ἑβραίους Εὐαγγέλιον εὗρεν ὁ Ὠριγένης παρὰ Ἰουλιανῇ τινὶ ἐν Καππαδοκίᾳ, ἴδ. σημ. 30. [Οὐδαμοῦ λέγει ὁ Εὐσέβιος, ὅτι ἡ τοῦ ἀρνησιχρίστου Συμμάχου μετάφρασις ἦν ἐν χρήσει παρὰ τοῖς χριστιανοῖς, ὡς ἀποφαίνεται ὁ Συγγραφεὺς Σ. Μ.].

([3]) Ὁ Θεοδοτίων, τὸ γένος Ποντικὸς (Ἐφέσιον καλεῖ ὁ Εἰρηναῖος, ἴσως διότι κατῴκησεν ἐνταῦθα), μαθητὴς

συλλογὴν τῶν μεταφράσεων μετὰ τοῦ πρωτοτύπου. Ἐν τῇ πρώτῃ στήλῃ [*] ὑπῆρχε τὸ ἑβραϊκὸν κείμενον γράμμασι γεγραμμένον ἑβραϊκοῖς· ἐν τῇ δευτέρᾳ τὸ αὐτὸ ἑβραϊκὸν κείμενον γράμμασιν ἑλληνικοῖς, ἐν τῇ τρίτῃ ἡ ἑρμηνεία τοῦ Ἀκύλου, ἐν τῇ τετάρτῃ ἡ τοῦ Συμμάχου, ἐν τῇ πέμπτῃ ἡ τῶν Ο, ἐν τῇ ἕκτῃ ἡ τοῦ Θεοδοτίωνος, καὶ ταύτῃ ἠκολούθουν αἱ τρεῖς ἀνώνυμοι ἑρμηνεῖαι. Ἐκεῖνο, ὅπερ οὐκ ἦν ἐν τῇ μεταφράσει τῶν Ο, ὁ Ὠριγένης ἐλάμβανε συχνοτέρως ἐκ τῆς τοῦ Θεοδοτίωνος, καὶ προσετίθει τῷ κειμένῳ τῶν Ο, σημειῶν αὐτὸ δι' ἀστερίσκου (*) [α]: Ὅ,τι δὲ οὐκ ἔκειτο μὲν ἐν τῷ πρωτο-

---

Μαρκίωνος τοῦ ἡμι-εβιωναίου, καὶ μετὰ ταῦτα ἔσθ' ὅτε *Ἐβιωναῖος* καλούμενος, τέλος Ἰουδαῖος προσήλυτος. Ἡ μετάφρασις αὐτοῦ ἦν γνωστὴ τῷ Εἰρηναίῳ, καὶ ἑπομένως ἐγένετο περὶ τὸ 175 (advers. haeres. l. III. c. XXI. Hieron. in Habac. c. III. Praefat. in job, et in Evang. ad Damas).

(*) Ἡ στήλη, λέγει ὁ ἀείμνηστος Οἰκονόμος, ἐκαλεῖτο καὶ *σελίς*, καταχρηστικώτερον, κατ' ἄλλο σημαινόμενον τῆς σελίδος, δηλούσης οὐ μόνον τὴν καὶ παρ' ἡμῖν συνήθη σελίδα (τὸ καταβατόν), ἀλλὰ καὶ τὸ μεταξὺ δύο στηλῶν, ἢ σειρῶν, ἐμπεριλαμβανόμενον ἄγραφον κενόν. Ὅθεν εἶπον σελίδα καὶ τὴν στήλην αὐτήν. Ὁ δ' Εὐσέβιος καὶ *κῶλον* αὐτὴν ὠνόμασε: «Ταύτας τὰς ἑρμηνείας ἁπάσας εἰς ἓν συναγαγών, διελών τε πρὸς *κῶλον*, καὶ ἀντιπαραθεὶς ἀλλήλοις», κ.τ.λ. (Ἐκκλ. ἱστορ. ς'. 16.), ὅπου τὸ *πρὸς κῶλον*, οὐ σημαίνει τὴν εἰς κῶλα διαίρεσιν τῶν γραφομένων . . . ἀλλ' αὐτὸ τὸ *πρὸς σελίδα*, ἤτοι στήλην . . . Ὅθεν καὶ *τετρασέλιδα* καὶ *ὀκτασέλιδα* παρά τισι τῶν σχολιαστῶν ὠνομάζετο τὰ τετραπλᾶ καὶ ἑξαπλᾶ . . .» (Περὶ τῶν Ο, ἑρμην. Τ. Δ. σελ 877—78). Σ. Μ.

[α] «Διὰ τοῦ ἀστερίσκου, λέγει ὁ αὐτὸς ἔνδοξος Οἰκονόμος, παρεσημείου Ὠριγένης ὅσα, λείποντα ἐκ τῆς ἑρμηνείας τῶν Ο, προσετίθει ἐκ τοῦ ἑβραϊκοῦ, μεταγράφων ἐκ τῆς ἑρμηνείας τοῦ Θεοδοτίωνος. Σημειωτέον δὲ κἂν τούτοις α'.] ὅτι ὁ Ὠριγένης προσέθηκε τὰ λείποντα ἐκ τῶν Ο, οὐχ ὡς νομίζων (καθά τινες εἶπον), ὅτι οὕτως εἶχε καὶ ἐπὶ τῶν Ο, τὸ κείμενον τὸ ἑβραϊκόν, ἀλλ' *ἵνα* (φησὶ) *τοῖς Ἰουδαίοις προσδιαλεγόμενοι, συγχρησώμεθα καὶ τοῖς φερομένοις παρ' ἐκείνοις*· β'.] ὅτι πάνυ γλίσχρως καὶ λεπτολόγως προσετίθει καὶ εἴτι κείμενον ἐξ ἀνάγκης ἐν τῷ ἑβραϊκῷ κατὰ τὴν ἑβραΐζουσαν φράσιν, παρέλιπον οἱ Ο, ὡς ὑπονοούμενον κατὰ τὸ ἰδίωμα τῆς φράσεως τῆς ἑλληνικῆς . . . γ) ὅτι κατηστέ-

τύπῳ καὶ παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς, ἔκειτο δὲ παρὰ τοῖς Ο, ἔν τε τῇ Κοινῇ καὶ ἐν τοῖς τετραπλοῖς, ἐσημείου διὰ τοῦ ὀβελοῦ(—>)(¹) [6]. Καθόλου δ' ἐτήρει μεγίστην προσοχὴν πρὸς τὴν ἀρχαίαν μετάφρα-

ριζεν ἐνίοτε καὶ προσθήκας ἐσφαλμένας ἐν τῷ κατ' αὐτὸν ἑβραϊκῷ . . . δ) ὅτι ὁ ἀστερίσκος τῶν ἑξαπλῶν, ἀπολύτως θεωρούμενος, προσεκτᾶτο δικαίωμα ὑπερόριον καὶ ὑπέρμετρον· ἐσήμαινε γάρ, ὅτι τὸ κατηστερισμένον ἀνάγνωσμα ἐξέλειπεν ὁλοτελῶς ἐκ τῆς ἑρμηνείας τῶν Ο, τὸ δὲ οὐχ οὕτως εἶχε· περιώριστο δὲ μόνον ἡ δεῖξις, ἐν οἷς εἶδεν Ὠριγένης ἀντιγράφοις . . . ε) ὅσα κατηστέρισεν ἐκ τοῦ Θεοδοτίωνος ἐν τῷ κειμένῳ τῶν Ο, πολλὰ τούτων ὑπῆρχον αὐτῶν τῶν Ο, ἐκπεσόντα μὲν ἐκ τῶν ἀντιγράφων, ἃ διώρθου Ὠριγένης, ἀποσωθέντα δὲ παρὰ τῷ Θεοδοτίωνι, ὅστις συνήθως τοῖς Ο παρηκολούθει, καὶ τἀκείνων πολλάκις ἀντέγραφε κατὰ λέξιν . . . » (περὶ τῶν Ο, ἑρμην. Τ. Δ. σελ. 875—76). Σ. Μ.

(¹) Ὠριγ. τῶν εἰς τὸν Ματθ. ἐξηγητ. τόμ. ιε'. 14, Hieron. comment. ad. 3 cap. ep. Titi, præfat. ad Apocal. — Εὐσέβ. ς'. 16. Ἐπιφ. περὶ Μέτρ. 18. 19.

[6] «Ἀλλὰ καὶ ἐν τούτοις σημειωτέον, λέγει ὁ πολὺς Οἰκονόμος, τὰ ἑξῆς : α) ἐν οἷς προσέγραφε τὸν ὀβελὸν ὁ Ὠριγένης, τοῦτ' ἤθελεν ἀποδεῖξαι· ὅτι ταῦτα τὰ ἀναγνώσματα ἔλειπον ἐκ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ καὶ τῶν περὶ τὸν Ἀκύλαν ἑρμηνειῶν, πρὸς ἁπλῆν γνῶσιν τῶν μόνοις τοῖς Ο χρωμένων Χριστιανῶν· «ἵνα, φησί, γνώριμον ἡμῖν ᾖ τὸ τοιοῦτον· — ἵνα μὴ προφέρωμεν αὐτοῖς (τοῖς Ἰουδαίοις ) τὰ μὴ προσκείμενα ἐν τοῖς ἀντιγράφοις αὐτῶν» (π. Ἀφρικ. §. 5.). Καὶ τοῦ παντὸς λοιπὸν ἐσφάλησαν οἱ νομίσαντες, ὅτι ὁ Ὠριγένης προσέγραφε τοὺς ὀβελούς, ὑποδεικνύων δῆθεν, ὅτι τὰ ὀβελιζόμενα οὐκ ἔκειντο οὐδ' ἐν τῷ κατὰ τοὺς χρόνους τῶν Ο ἑβραϊκῷ . . . β) ὅσα παρεσημειώθησαν διὰ τοῦ ὀβελοῦ ἐν τοῖς Ἑξαπλοῖς, διέμειναν ἀπαρασήμαντα καὶ εἰλικρινῆ ἔν τε τοῖς Τετραπλοῖς, καὶ ἐν πᾶσι τοῖς ἀντιγράφοις τῆς Κοινῆς· ὡσαύτως καὶ ἐν ταῖς ἐκδόσεσι τοῦ Λουκιανοῦ καὶ τοῦ Ἡσυχίου· γ) ὅτι ἦσαν καί τινα τῆς Κοινῆς ἀναγνώσματα, μάτην ὀβελιζόμενα ἐν τοῖς Ἑξαπλοῖς, ὡς μὴ κείμενα παντάπασιν ἐν τῷ ἑβραϊκῷ. Εἰ γὰρ ἀπῆσαν ἐκ τῶν Ὠριγένει συγχρόνων Ἑβραίων ἀντιγράφων καὶ τῶν τριῶν ἑρμηνευτῶν, ἀλλ' ἐσώζοντο ἐν ἄλλοις μερικοῖς ἑβραίοις ἀντιγράφοις, ὡς μαρτυροῦσιν ὀλίγαι μὲν ἀποσωθεῖσαι, σαφεῖς δὲ ὅμως καὶ ἀναντίρρητοι δείξεις· οἷον οἱ δύο περίφημοι στίχοι τοῦ κά. κεφ. τοῦ Ἰησοῦ, οὓς Ὠριγένης μὲν ὠβέλισεν ὡς λείποντας

σιν, καὶ τὸν Ἀφρικανὸν ὑπομιμνήσκει τό: μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ Πατέρες σου» (§. 5.) Εἰπὼν δέ, ὅτι ὑπὸ τοῦ κανόνος τούτου οὐ κωλύεται μαθεῖν τὸ πνεῦμα τοῦ πρωτοτύπου, αὐτὸς οὗτος ἐπιμελῶς παραβάλλων τὰς μεταφράσεις, προςετίθει, ὅτι ἴδιον κατέβαλε πόνον εἰς τὴν τῶν Ο ἑρμηνείαν, ὅπως μὴ φανῇ ταῖς ὑπὸ τὸν οὐρανὸν Ἐκκλησίαις εἰσάγων τι ἀφ' ἑαυτοῦ (1). Οὕτω μετὰ τὰ Τετραπλᾶ συνέθηκε τὰ Ἑξαπλᾶ (2), καὶ ἐδωρήσατο τῇ Ἐκκλησίᾳ τότε ἐπιδιορθωθὲν κείμενον τῶν Ο, καὶ τὴν εὐχέρειαν τοῦ ὀρθῶς κατανοεῖν τὸ πνεῦμα τῆς ἁγίας Γραφῆς (3).

---

ἐκ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ, περιέχουσι δὲ τούτους αἱ χαλδαϊκαὶ παραφράσεις, καὶ ἄλλαι τῶν ἀρχαίων ἑρμηνειῶν» (αὐτόθ. σελ. 874—75. Σ. Μ.

(1) Ἐπιστ. πρὸς Ἀφρικ. σελ. 17: «Καὶ ταῦτα δέ φημι οὐχὶ ὄκνῳ τοῦ ἐρευνᾶν τὰς κατὰ Ἰουδαίους Γραφάς, καὶ πάσας τὰς ἡμετέρας ταῖς ἐκείνων συγκρίνειν καὶ ὁρᾶν τὰς ἐν αὐταῖς διαφοράς. Εἰ μὴ φορτικὸν γοῦν εἰπεῖν, ἐπὶ πολὺ τοῦτο, ὅση δύναμις, πεποιήκαμεν, γυμνάζοντες αὐτῶν τὸν νοῦν ἐν πάσαις ταῖς ἐκδόσεσι καὶ ταῖς διαφοραῖς αὐτῶν, μετὰ τοῦ ποσῶς μᾶλλον ἀσκεῖν τὴν ἑρμηνείαν τῶν Ο, ἵνα μή τι παραχαράττειν δοκοίημεν ταῖς ὑπὸ τὸν οὐρανὸν Ἐκκλησίαις, καὶ προφάσεις διδῶμεν τοῖς ζητοῦσιν ἀφορμάς, ἐθέλουσι τοὺς ἐν μέσῳ συκοφαντεῖν, καὶ τῶν διαφαινομένων ἐν τῷ κοινῷ κατηγορεῖν . . . » Τῶν εἰς τὸ κατὰ Μάτθ. ἐξηγητ. Τόμ. ιέ, σελ. 671.

(2) *Τετραπλᾶ* καλοῦνται αἱ τέσσαρες ἑλληνικαὶ μεταφράσεις (τοῦ Ἀκύλου, τοῦ Συμμάχου, τῶν Ο, καὶ τοῦ Θεοδοτίωνος). *Ἑξαπλᾶ* αἱ αὐταὶ μεταφράσεις μετὰ προσθήκης δύο μεταφράσεων ἀγνώστων τὴν καταγωγήν. Τὸ ὄνομα *Ὀκταπλᾶ* ἐδίδοσαν ἤδη αὐθαιρέτως, ἐννοοῦντες ὑπὸ τοῦτο ἐκτὸς τῶν ἓξ μεταφράσεων τὰς δύο στήλας τοῦ πρωτοτύπου (Εὐσέβ. Ἐκκλ. ἱστορ. ς'. 16.). Τὸ ὄνομα *Ἐννεαπλῶν* ἢ *Ἑπταπλῶν* οὐκ ἀπαντᾷ. Ὅτι συνετέθησαν ὑπὸ τοῦ Ὠριγένους τὰ *Τετραπλᾶ* πρὶν ἢ εὑρεθῶσιν αἱ μεταφράσεις τῶν ἀγνώστων, γίγνεται δῆλον ἔκ τε τῆς ἱστορίας τοῦ βίου αὐτοῦ, καὶ ἔκ τινων χειρογράφων, ἔνθα γίγνεται μνεία τῶν Τετραπλῶν καὶ Ὀκταπλῶν ὡς πάντῃ διαφόρων πονημάτων (Montfaucon. Præelim. ad Hexapla p. 9. 10. ).

(3) Αἱ σπουδαιόταται τῶν ἐπιδιορθώσεων, ὡς δῆλον ἐκ τῶν ἑξαπλῶν, καὶ ἐν μέρει ἐκ τῆς πρὸς τὸν Ἀφρικανὸν ἐπιστολῆς τοῦ Ὠριγένους, ἀνεφέροντο α) εἰς τὸ βιβλίον τῆς Ἐξόδου, ἔνθα ἀπὸ τοῦ λς'. κεφαλαίου

Αἱ διάφοροι μεταφράσεις, διασαφοῦσαι ἑαυτὰς ἀμοιβαίως, προσήγγιζον εἰς τὴν γνησίαν ἔννοιαν καὶ τῷ μὴ εἰδότι τὴν γλῶσσαν τοῦ πρωτοτύπου, καὶ τῷ εἰδήμονι τῆς ἑβραϊκῆς παρεῖχον τὴν εὐμάρειαν τῆς παρεξετάσεως τῶν μεταφράσεων. Αὐτὴ ἡ διάταξις τῶν μεταφράσεων—τῆς τοῦ Ἀκύλου μετὰ τὸ πρωτότυπον, τῆς τοῦ Θεοδοτίωνος μετὰ τὴν τῶν Ο,—τῆς τοῦ Συμμάχου μετὰ τὴν τοῦ κατὰ γράμμα μεταφράσαντος Ἀκύλου, εἶχε τὸν προφανῆ σκόπον τοῦ συντελεῖν μᾶλλον ἐπὶ μᾶλλον εἰς τὴν κατάληψιν τῆς θείας Γραφῆς. Σύναμα δ' ἐδείκνυτο ἡ εὐμάρεια τοῦ ἐλέγχειν τὰς αὐθαιρεσίας τῶν Ἰουδαίων.

Τοιαῦτα δ' ὄντα τὰ τοῦ Ὠριγένους πονήματα ταῦτα εἰς τὸ κείμενον τῆς Παλαιᾶς Διαθήκης, ἀπέβαινον χρησιμώτατα τῇ Ἐκκλησίᾳ ὑπὲρ πάντα ἄλλα συγγράμματα αὐτοῦ. «Ὁ ἀθάνατος νοῦς τοῦ Ὠριγένους, λέγει ὁ Ἱερώνυμος, ἐδωρήσατο ἡμῖν τοῦτο, ὅτι νῦν οὐ φοβούμεθα τὴν ἀλαζονίαν τῶν Ἰουδαίων». Ὅσον συνεχῶς ἐποιοῦντο χρῆσιν τῶν Ἑξαπλῶν τοῦ Ὠριγένους οἱ διδάσκαλοι τῆς Ἐκκλησίας, δεικνῦσιν αὐταὶ αἱ ἑρμηνεῖαι τοῦ Χρυσοστόμου, τοῦ Ἱερωνύμου, τοῦ Βασιλείου, καὶ ἄλλων. Ταῦτα ταχέως μετεφράσθησαν εἰς τὰς ἀνατολικὰς γλώσσας. Τὸ κείμενον τῶν Ο, τὸ ὑπὸ τοῦ Ὠριγένους, ἐπιδιορθωθέν, καὶ ἔπειτα ὑπὸ τοῦ Παμφίλου ἐπιθεωρηθέν, κατὰ τὴν μαρτυρίαν τοῦ Ἱερωνύμου ἦν ἐν γενικῇ χρήσει κατὰ τὰς Ἐκκλησίας τῆς Παλαιστίνης(1). «Πᾶσαι αἱ τοῦ Χριστοῦ Ἐκκλησίαι, λέγει ὁ αὐτὸς Ἱερώνυμος, καὶ Ἑλλήνων, καὶ Λατίνων, καὶ Σύρων,



μέχρι τέλους ἦσαν ἀναμεμιγμένοι οἱ στίχοι, ἐν μέρει δὲ καὶ παραλελειμμένοι, καὶ ἔνθα ἐν τῷ κη'. κεφαλαίῳ προσετέθησαν ὀκτὼ στίχοι· β) εἰς τὸ βιβλίον τοῦ Ἰώβ, ἔνθα εὑρέθησαν λίαν πολλαὶ παραλείψεις (κατὰ τὸν Ἱερώνυμον ὀγδοήκοντα στίχοι)· γ) εἰς τὸ βιβλίον τοῦ Ἱερεμίου, ἐκτὸς τοῦ ὅτι ἦσαν πολλὰ παραλελειμμένα ἀπὸ τοῦ κέ. κεφαλαίου μέχρι τέλους τοῦ βιβλίου, ἡ τάξις ἦν παρηλλαγμένη· δ) εἰς τὰ βιβλία Ἰησοῦ τοῦ Ναυῆ, τῶν Κριτῶν, τῶν Βασιλειῶν, καὶ τοῦ Ἐκκλησιαστοῦ ἐγένοντο διάφοροι ἐπιδιορθώσεις (Montfaucon. Praelim. ad Hexapla p. 71. 73. 139—149. ed Bardt.).

(1). Praefat. ad Paralip. ἴδ. Scholia in Psalter. Gr. Vatican. ad Psalm. 12. ap. Montfaucon. de Hexaplis.

καὶ Αἰγυπτίων ταύτην (τὴν ἐν τοῖς Ἑξαπλοῖς ἔκδοσιν τῶν Ο,) ὑπ᾽ ἀστερίσκοις καὶ ὀβελοῖς ἀναγινώσκουσι» (¹). Δυστυχῶς τὸ πρωτότυπον τοῦ Ὠριγένους, τὸ μετενεχθὲν ὑπὸ τοῦ Παμφίλου ἐκ Τύρου εἰς τὴν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης βιβλιοθήκην, κατεστράφη μετὰ ταύτης τῆς βιβλιοθήκης τῷ 653 ὑπὸ τῶν Σαρακηνῶν (²), καὶ μέχρις ἡμῶν ἀφίκοντο τὰ Ἑξαπλᾶ μόνον ἐν τεμαχίοις (³).

Τὸ κείμενον τῆς Καινῆς Διαθήκης ἐπιθεώρησε μὲν ὁ Ὠριγένης μετὰ τῆς αὐτῆς ἀκριβείας, μεθ᾽ ἧς τὸ τῆς Παλαιᾶς Διαθήκης, ὡς οὔσης ἄλλως πρὸ τοῦτο ἀνάγκης, ἀλλ᾽ ἐν τῇ ἐργασίᾳ αὐτοῦ ἐφρόντισεν ἔχειν τὸ ἀκριβέστατον τῶν ἀντιγράφων τῆς Καινῆς Διαθήκης ἄνευ σφαλμάτων τῶν ἀντιγραφέων. Διὰ τοῦτο τὴν ὑπὸ τοῦ Ὠριγένους ἔκδοσιν τῆς Καινῆς Διαθήκης περὶ πλείστου ἐποιοῦντο (⁴).

(¹) Procem. comment. in Daniel.

(²) Χρονογρ. Θεοφαν. σελ. 199.

(³) Πληρεστάτη ἔκδοσις (μετὰ τὴν τοῦ Μαρίνου καὶ τοῦ Δρουσίου) τῶν Ἑξαπλῶν ἐστιν: Hexapla Origenis, quae supersunt, multis partibus ed. a Bern. Montfaucon. T. 1. 11. Paris. 1714. f. Ἡ ἔκδοσις αὕτη μετά τινων ἐπιτομῶν καὶ ἐπιδιορθώσεων ἐπανελήφθη ὑπὸ τοῦ Βάρδτου Lips. 1769—770. 8. ἔπειτα ἐξεδόθησαν προσθῆκαι τινὲς ὑπὸ τοῦ Σλεϊσνέρου Opouscula Crit. ad vers. gr. Lips. 1812. ὑπὸ τοῦ Σπόνου. Hieremias vates e. vers. Alexand et alior. interpr. vol. 1. 1794. vol. 2. 1824. ὑπὸ τοῦ Σαρφεμβέργου: specimina vers. Gr. 1. 1776. 2. 1778. Lips. Ἐν τῇ ἐκδόσει τοῦ Μιγνίου ὁ Δρὰχ ἐποιήσατο διορθώσεις κατὰ τὴν ἔκδοσιν τοῦ Μωντφαουκονίου. — Τὰ ἑξαπλᾶ ἐν τῇ συρ. μεταφρ. α΄.] Codex. Syr. Hexaplaris, ed et lat. ver. a Mat. *Norberg*. (Jerem. et Ezech.). London 1787. β΄.] Daniel. sec ed. LXX ex Tetraglis, syr. et lat. vers a Gaiet. *Rugato*, Mediol 1788. γ΄.] Psalmi sec. ed LXX syr. lat a Gaiet. *Rugato*, Mediol. 1820. δ΄.] codex. cyriaco—Hexapl. lib. 4. Reg., Hesaias, 12 Proph. min., Proverb., Jobus Cant. cant; Threni, Ecclesiastes, ed. a Hern. *Middedorff* Berolini 1835. — Τὰ ἑξαπλᾶ ἐν τῇ ἀραβ. μεταφράσει—δύο ἀπόγραφα τῆς Πεντατεύχου ἐν τῇ Βοδληϊανῇ βιβλιοθήκῃ. Ἴδ. Grab. Proleg. ad Octateuchum, c. 3.

(⁴) Hieron. in Math. 24. 36. «in quibusdam latinis codicibus additum est: Neque *Filius*, quum in Graecis et maxime *Adamantii* et *Pierii* examplaribus hoc non habetur adscriptum. ad Gal.

### §. 92. *β'. Ἱστορικά· βραχέα τινὰ περὶ τοῦ Κανόνος.*

Β. Ἐν τοῖς ἱστορικοῖς πονήμασι περὶ τὴν ἁγίαν Γραφὴν γνωστὸν τοῦ Ὠριγένους ἔργον ἐστὶν ἡ πρὸς τὸν Ἀφρικανὸν ἐπιστολή. Ὁ Ἀφρικανὸς ἐνόμιζεν, ὅτι ἡ ἱστορία τῆς Σωσάννης οὐκ ἐστιν ὠφέλιμον τῇ Ἐκκλησίᾳ βιβλίον, πολλῷ δ᾽ ἧττον κανονικόν· ἐδείκνυ ἐν ταύτῃ τῇ ἱστορίᾳ τὴν ἀσυμφωνίαν τῶν πράξεων καὶ τῶν περιστατικῶν πρὸς τὴν πραγματικὴν ἱστορίαν, τὰς ἐκφράσεις καὶ τὸ λεκτικόν, ἐλέγχοντα τὴν ἑλληνικὴν αὐτῆς καταγωγήν, τὸ ἀπρεπὲς τῶν ὁράσεων εἰς χαρακτῆρα προφήτου. Ὁ Ὠριγένης, ἐν ἐκτάσει ἀποκρινόμενος, λέγει, ὅτι οὐ κατὰ τὸν αὐτὸν τρόπον ἐδηλώθη τὸ θέλημα τοῦ Θεοῦ, ὅτι ἡ ἀσυμφωνία τῶν περιστάσεων πρὸς τὴν ἱστορίαν ἐστὶν ἔργον οὐκ ἀποδεδειγμένον. Περὶ δὲ τῶν ἐκφράσεων καὶ τοῦ λεκτικοῦ ἔγραψεν, ὅτι ἀδύνατον ἐκ τούτου ἐξαγαγεῖν θετικὸν συμπέρασμα, ὡς καὶ ἐκ τοῦ ὅτι ἡ ἱστορία αὕτη οὐχ εὕρηται ἐν τῷ ἑβραϊκῷ κανόνι. Τέλος ἔγραψεν, ὅτι ὡς ὁδηγὸς ἐν τῇ περιστάσει ταύτῃ χρησιμεύει ἡμῖν, ὡς εἰκός, ἡ χρῆσις τῆς χριστιανικῆς Ἐκκλησίας.

Ἐν ἄλλοις συγγράμμασιν ὁ Ὠριγένης κατέλιπεν ἡμῖν ἀκριβεστέρας πληροφορίας περὶ τοῦ Κανόνος τῆς ἁγίας Γραφῆς. Αὗται δέ εἰσιν αἱ ἑξῆς: α'.] σαφῶς διακρίνει τὰ κανονικὰ βιβλία τῆς ἁγίας Γραφῆς τῶν ἀποκρύφων (¹). β'.] «Οὐκ ἀγνοητέον οὖν, γράφει, ὅτι καὶ τὸ εἶναι τὰς ἐνδιαθήκους βίβλους, ὡς Ἑβραῖοι παραδιδόασι, δύο καὶ εἴκοσιν, ὅσος ὁ ἀριθμὸς τῶν παρ᾽ αὐτοῖς στοιχείων ἐστίν, οὐκ ἄλογον τυγχάνει» (²). Καὶ ἔπειτα ἀπαριθμεῖ αὐτὰ τὰ βιβλία, πάντα δηλονότι ἐκεῖνα, ἃ καὶ μέχρι τοῦ δεῦρο θεωροῦνται κανονικά.

---

3. 1. « Hoc quia in *exemplaribus Adamantii* non habetur, omisimus ».

(¹) In Cant. Cantic. Prol. p. 36. Τὰ κανονικὰ βιβλία ἄλλως καλεῖ *κοινὰ καὶ δεδημοσιευμένα* (τὰ εἰς τὸ κατὰ Ματθ. Εὐαγγελ. ἐξηγητ. Τόμ. 10. σελ. 465).

(²) Ἐν τῇ ἑρμηνείᾳ τοῦ πρώτου ψαλμοῦ παρ᾽ Εὐσεβίῳ στ'. 25. Κατὰ τὸ νῦν κείμενον τῆς ἱστορίας οὐκ ἀναγινώσκεται ἐνταῦθα τὸ βιβλίον τῶν ἐλασσόνων Προφητῶν. Ἀλλὰ τοῦτό ἐστι σφάλμα τοῦ ἀντιγραφέως. Διότι α'.] ἄλλως οὐ συμπληροῦται ὁ ἀριθμὸς 22 βιβλίων· β'.] ἐν τῇ Ῥουφινείῳ μεταφράσει τῆς ἱστορίας τοῦ Εὐσεβίου, ἐν τῷ προλ. τοῦ ἁγίου Ἱλαρίου εἰς τοὺς ψαλ. τὸ βιβλίον τῶν ἐλασσόνων προφητῶν τάσσεται μετὰ τὸ Ἆσμα τῶν Ἀσμάτων.

γ'.] Οὐδαμῶς ἀμφιβάλλων ὅτι ἐν τῷ Κανόνι τῆς ἰουδαϊκῆς Ἐκκλησίας οὐχ ὑπάρχουσιν ἀπόκρυφα βιβλία, λέγει, ὅτι οὐχ ἧττον εἰσὶν ὠφέλιμα, κατά τε τὴν κρίσιν τῆς Ἐκκλησίας καὶ τὸ περιεχόμενον αὐτῶν(1). Πρὸς δὲ βιβλία τοιαῦτα, οἷα τὸ τοῦ Ἐνώχ, ἡ διαθήκη τῶν δώδεκα Πατριαρχῶν, τὸ περὶ τῆς ἀναλήψεως τοῦ Μωϋσέως, Ἰαννῆ καὶ Ἰαμβρῆ, οὐ μόνον καλεῖ ἀμφίβολα, ἀλλ' ἀπ' εὐθείας λέγει, ὅτι «ἐν ταῖς Ἐκκλησίαις οὐ πάνυ φέρεται ὡς θεῖα» (2).

δ'.] Τὰ βιβλία τῆς Καινῆς Διαθήκης καλῶν ὁτὲ μὲν Καινὴν Διαθήκην(3), ὁτὲ δὲ Εὐαγγέλιον καὶ Ἀπόστολον(4), γράφει περὶ τῶν Εὐαγγελίων τάδε: «ὡς ἐν παραδόσει μαθὼν περὶ τῶν τεσσάρων Εὐαγγελίων, ἃ καὶ μόνα ἀναντίρρητά ἐστιν ἐν τῇ ὑπὸ τὸν οὐρανὸν Ἐκκλησίᾳ τοῦ Θεοῦ, ὅτι πρῶτον μὲν γέγραπται τὸ κατὰ τόν ποτε τελώνην, ὕστερον δὲ Ἀπόστολον Ἰησοῦ Χριστοῦ Ματθαῖον, ἐκδεδωκότα αὐτὸ τοῖς ἀπὸ ἰουδαϊσμοῦ πιστεύσασι γράμμασιν ἑβραϊκοῖς συντεταγμένον· δεύτερον δὲ τὸ κατὰ Μάρκον, ὡς Πέτρος ὑφηγήσατο αὐτῷ, ποιήσαντα, ὃν καὶ Υἱὸν ἐν τῇ καθολικῇ ἐπιστολῇ διὰ τούτων ὡμολόγησε φάσκων: Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ καὶ Μάρκος ὁ υἱός μου. Καὶ τρίτον τὸ κατὰ Λουκᾶν, τὸ ὑπὸ Παύλου ἐπαινούμενον Εὐαγγέλιον, τοῖς ἀπὸ τῶν ἐθνῶν πεποιηκότα· ἐπὶ πᾶσι τὸ κατὰ Ἰωάννην» (5).

(1) Ἐπιστ. πρὸς Ἀφρικαν. 2—5· In Cant. Cantic. Prol. T. III. p. 36. ὡς περὶ ὠφελίμων βιβλίων Ὁμιλ. 27. εἰς Ἀριθμ. 2. 374. Περὶ *ἀρχῶν* βιβλ. δ. §. 33. Τομ. I. σελ. 192. περὶ *Εὐχῆς* (§. 4. T. I. σελ. 220).

(2) Κατὰ Κέλσ. Ε, 54. Τόμ. I. σελ. 619. Ὑπομν. εἰς Ἰωάν. T. 4. σελ. 142. Περὶ ἀρχῶν γ, 2. 4. εἰς Ματθ. §. 117. T. 3. σελ. 916. §. 46. σ. 864.

(3) Περὶ ἀρχ. 4. 1. Τόμ. I. σελ. 156.

(4) Ὁμιλ. ιθ'. εἰς Ἱερεμ. T. 3. σελ. 264.

(5) Ἐν τῷ πρώτῳ τῶν εἰς τὸ κατὰ Ματθ. παρ' Εὐσεβίῳ ἐκκλ. ἱστορ. ς'. 25. Ὡσαύτως ὁμιλ. εἰς Ἡσαΐαν T. 2. σελ. 412. Περὶ τῆς ὑπεροχῆς τοῦ Εὐαγγελίου τοῦ Ἰωάννου τῶν ἄλλων καὶ τοῦ προσώπου αὐτοῦ λέγει ἐν τῷ προοιμίῳ τῶν εἰς τὸ κατὰ Ἰωάννην ἐξηγητικῶν: «. . . τολμητέον τοίνυν εἰπεῖν ἀπαρχὴν μὲν πασῶν Γραφῶν εἶναι τὰ Εὐαγγέλια, τῶν δὲ Εὐαγγελίων ἀπαρχὴν τὸ κατὰ Ἰωάννην· οὗ τὸν νοῦν οὐδεὶς δύνα-

Ἀπορρίπτει τὸ καθ' Ἑβραίους Εὐαγγέλιον, ἢ τὸ Εὐαγγέλιον τῶν δώδεκα, τὸ κατ' Αἰγυπτίους Εὐαγγέλιον, τὸ τοῦ Θωμᾶ, τοῦ Ματθίου, καὶ ἄλλα παρόμοια[1]. Ὡς γνώρισμα δὲ τῶν ἀνθρωπίνων Εὐαγγελίων τίθησιν, ὅτι ταῦτα ἐγράφησαν σπουδῇ τῆς ἀνθρωπίνης ἀσθενείας, ἐνῷ ὁ ἅγιος Ματθαῖος «οὐκ ἐπεχείρησεν», ἀλλ' ἔγραψεν ἐξ ἁγίου κινούμενος Πνεύματος. Ὁμοίως καὶ Μάρκος καὶ Ἰωάννης· παραπλησίως δὲ καὶ Λουκᾶς»[2].

ε'.] Συνῳδὰ τῇ αὐτῇ παραδόσει κατατάσσει ἐν τοῖς κανονικοῖς βιβλίοις τὰς Πράξεις τῶν Ἀποστόλων, τὰς δεκατρεῖς ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου, τὴν πρώτην καθολικὴν ἐπιστολὴν τοῦ Ἀποστόλου Πέτρου, τὴν πρώτην καθολικὴν τοῦ Ἰωάννου, καὶ τὴν Ἀποκάλυψιν[3]. Περὶ δὲ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς, τῆς δευτέρας τοῦ Πέτρου τῆς δευτέρας καὶ τρίτης τοῦ Ἰωάννου, σημειοῖ, ὅτι «οὐ πάντες φασὶ γνησίους εἶναι ταύτας», ἀλλ' ὡς ἐνταῦθα[4] οὕτω καὶ ἀλλαχοῦ κατατάσσει αὐτὰς ἐν τοῖς κανονικοῖς[5]. Περὶ τῶν ἐπιστολῶν τοῦ Ἰακώβου καὶ τοῦ Ἰούδα ἅπαξ ἐκφέρει ἀμφιβολίαν[6], ἀλλ' ἐν ἄλλαις περιστάσεσι ποιεῖται περὶ αὐτῶν λόγον ὡς ἀποστολικῶν[7]. Τοὐναντίον δὲ περὶ

---

ται λαβεῖν μὴ ἀναπεσὼν ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ, μηδὲ λαβὼν ἀπὸ Ἰησοῦ τὴν Μαρίαν γινομένην καὶ αὐτοῦ μητέρα· καὶ τηλικοῦτον δὲ γενέσθαι δεῖ τὸν ἐσόμενον ἄλλον Ἰωάννην, ὥστε οἱονεὶ τὸν Ἰωάννην δειχθῆναι ὄντα Ἰησοῦν ἀπὸ Ἰησοῦ . . .» Ἐν τῷ πέμπτῳ: « . . . τί δεῖ περὶ τοῦ ἀναπεσόντος ἐπὶ τὸ στῆθος λέγειν τοῦ Ἰησοῦ, Ἰωάννου, ὃς Εὐαγγέλιον ἓν καταλέλοιπε . . . » (παρ' Εὐσέβ. ἐκκλ. ἱστορ. ς'. 25.). Περὶ τοῦ Εὐαγγελίου τοῦ Ματθαίου αὐτόθ. Τομ. ς'. §· 17. σελ. 132.

(1) Τόμ. ΙΕ, §· 14 τὸν εἰς τὸ κατὰ Ματθαῖον, σελ. 671.

(2) In Lucam homil. I. p. 933.

(3) Παρ' Εὐσεβ. ἐκκλ. ἱστορ. ς'. 25. Ὁμιλ. Ζ'. εἰς Ἡσαΐαν, τομ. 2. σελ. 412. Ὁμιλ. ΙΘ'. εἰς Ἱερμ. §. 2. Τόμ. 3. σελ. 263. Τόμ. 16. 17. τῶν εἰς τὸ κατὰ Ματθαῖον, τόμ. 3. σελ. 719. 797. τῶν εἰς τὸ κατὰ Ἰωάννην τόμ. 4. σελ. 17.

(4) Παρ' Εὐσεβ. ς'. 25.

(5) In Levitic. homil. IV. pag. 200. in Numeros homil. III. pag. 281. 312. τῶν εἰς τὸ κατὰ Ἰωάννην σελ. 76. 350. 323.

(6) Τῶν εἰς τὸ κατὰ Ἰωάννην σελ. 306. τῶν εἰς τὸ κατὰ Ματθαῖον σελ. 814.

(7) Περὶ τῆς ἐπιστολῆς τοῦ Ἰακώβου ΙΓ'. ὁμιλ. εἰς Γέν. 3. 8. εἰς

τοῦ βιβλίου τοῦ Ἑ ρ μ ᾶ λέγει, ὅτι εἰ καὶ ἀναγιγνώσκεται, ἀλλ᾽ οὐχ ὁμολογεῖται παρὰ πᾶσιν εἶναι θεία Γραφή(¹), καὶ ὅλως ἀπορρίπτει τὸ κατὰ Πέτρον Εὐαγγέλιον (²).

Τοιαῦταί εἰσιν αἱ περὶ τοῦ ἱεροῦ κανόνος εἰδήσεις, αἱ μεταδιδόμεναι ὑπ᾽ ἐκείνου, ὃς καὶ πολυμαθέστατος ἦν καὶ ἄριστα ἠδύνατο κρῖναι περὶ τῆς ἀξίας τῶν βιβλίων!

§. 93. *Ἑρμηνεία εἰς τὴν ἁγίαν Γραφὴν καὶ κανόνες τῆς ἑρμηνείας.*

Γ΄. Ὁ Ὠριγένης, ἀσχολούμενος περὶ τὴν ἑρμηνείαν τῆς Γραφῆς, οὐ μόνον προὐτίθει τοῖς πιστοῖς 1] ἑρμηνείαν αὐτῆς, ἀλλὰ καὶ ὥριζε 2] κανόνας τῆς ἑρμηνείας σαφεῖς καὶ ὡρισμένως διατετυπωμένους.

1.] Πλεῖστα ἔγραψεν ὁ Ὠριγένης πρὸς διασάφησιν τῆς ἁγίας Γραφῆς. Κατὰ τὸν Ἐπιφάνιον, ἐγράφησαν ὑπ᾽ αὐτοῦ ὑπομνήματα εἰς ἅπασαν τὴν ἁγίαν Γραφήν, ἐξαιρουμένης τῆς Ἀποκαλύψεως. Οἱ πόνοι τοῦ Ὠριγένους ὡς πρὸς τοῦτο ἦσαν οὐχ ἑνὸς εἴδους. Ὑπ᾽ αὐτοῦ συνεγράφησαν σ η μ ε ι ώ σ ε ι ς εἰς τὰ δύσκολα χωρία τῶν Ἑξαπλῶν· τ ό μ ο ι ἢ ἰδίως πληρέστεραι ἑρμηνεῖαι, καὶ ὁ μ ι λ ί α ι, σκοπὸν ἔχουσαι τὴν ἐν τῇ εὐσεβείᾳ οἰκοδομήν. Ἀλλ᾽ αἱ μὲν πρῶται ἀπωλέσθησαν· ἐκ δὲ τῶν ὑπομνημάτων καὶ τῶν ὁμιλιῶν ἀφίκοντο μέχρις ἡμῶν οὐ πολλὰ ἐν συγκρίσει πρὸς τὰ ὑπ᾽ αὐτοῦ συγγραφέντα, κατὰ τὰς μαρτυρίας τῶν ἀρχαίων, καὶ τούτων δὲ πάλιν μέγα μέρος διεσώθη μόνον ἐν τῇ μεταφράσει τοῦ Ἱερωνύμου καὶ τοῦ

---

Ἔξοδ. 2. 13. ὁμιλ. εἰς Λευῒτ. Περὶ τῆς ἐπιστολῆς τοῦ Ἰούδα λέγει: «Καὶ Ἰούδας ἔγραψεν ἐπιστολὴν ὀλιγόστιχον μέν, πεπληρωμένην δὲ τῶν τῆς οὐρανίου χάριτος ἐρρωμένων λόγων». Τῶν εἰς τὸ κατὰ Ματθ. Τ. 10. σελ. 463. «Καὶ ἐν τῇ Ἰούδα ἐπιστολῇ». Τόμ. ιγ΄. σελ. 607. «Petrus etiam duabus epistolarum suarum personat tubis. Iacobus quoque et Iudas. Addit nihilominus adhuc et Ioannes tuba canere per epistolas suas et Apocalypsin, et Lucas apostolorum gesta describens» (in Libr. jesu Nave homil. VII).

(¹) Εἰς Ματθ. Τ. 14. σελ. 644. «Εἰ χρὴ τολμήσαντα καὶ ἀπό τινος φερομένης μὲν ἐν τῇ Ἐκκλησίᾳ Γραφῆς, οὐ παρὰ πᾶσι δὲ ὁμολογουμένης εἶναι θείας, καὶ τοσοῦτον παραμυθήσασθαι, ληφθείη ἂν καὶ ἀπὸ τοῦ ποιμένος».—Homil. VIII. in Num. II. «In libello Pastoris, si cui tamen scriptura illa recipienda videtur».

(²) Περὶ ἀρχ. Α΄. σελ. 49.

Ρουφίνου (¹), ἐν ᾧ ὁ τελευταῖος λέγει, ὅτι οὐ πανταχοῦ ἐτήρει πιστῶς τὸ πρωτότυπον (²).

Ἐκ τῶν μέχρις ἡμῶν ἀφικομένων πονημάτων ἄριστά εἰσι α΄] ἡ ἑρμηνεία εἰς τοὺς Ψαλμοὺς μεθ' ἱστορικῶν ἅμα καὶ κριτικῶν σημειώσεων περὶ τοῦ χρόνου, τῆς διαιρέσεως, καὶ τῶν ἐπιγραφῶν τῶν ψαλμῶν, καὶ περί τινων δυσκόλων γλωσσικῶν ἰδιωμάτων· β΄] εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων μετ' ἐξαιρέτου εἰσαγωγῆς περὶ τῆς σημασίας τοῦ βιβλίου. Ὁ Ἱερώνυμος λέγει: Origenes cum in caeteris libris omnes vicerit, in Cantico Canticorum ipse se vicit ». «Εἰ ἐν τοῖς ἄλλοις συγγράμμασιν ὁ Ὠριγένης ὑπερέβαλε πάντας, ἐν

---

(¹) *Ἑρμηνεῖαι* ἑλληνιστὶ ἐν μέρεσιν εἰς τὸ Α΄. καὶ Β΄. καὶ Ε΄. βιβλίον τοῦ Μωϋσέως, εἰς τοὺς ψαλμούς, τὰς Παροιμίας, τὸν Ἐκκλησιαστήν, τὸ Ἆσμα τῶν Ἀσμάτων, τοὺς μικροὺς Προφήτας, τὸν Ἡσαΐαν, τὸν Ἰεζεκιήλ, εἰς τὸ Εὐαγγέλιον τοῦ Ματθαίου καὶ τοῦ Ἰωάννου, καὶ εἰς τὰς ἐπιστολὰς τοῦ ἀποστόλου Παύλου (παρὰ De la Rue, παρὰ Lomatzsch, παρὰ Κραμέρῳ in Caten, in epist. ad Corinth. Oxon. 1841. Τὸ πρῶτον ἐξεδόθη ἡ ἑρμηνεία εἰς τὴν Α΄. πρὸς Κορινθ. ἐπιστολήν, ἔπειτα μέρη διαφόρων ἑρμηνειῶν ἐν ταῖς ἐκδόσεσι τοῦ αὐτοῦ, Catena in epist. catholicas Oxonii 1841. in epist. ad Galat. Ephes., Colos., Oxonii 1842. in epist. ad Timoth., Tit., Oxonii, 1843.) *Ὁμιλίαι* ἑλληνιστὶ ἀκέραιαι εἰς τὸ Α΄. βιβλίον τῶν Βασιλειῶν, ἐν μέρεσιν εἰς τὸ Α΄. καὶ Β΄. καὶ εἰς τὰ τέσσαρα βιβλία τοῦ Μωϋσέως, εἰς τὸν Ἱερεμίαν, καὶ εἰς τὰς Πράξεις. Ἐν τῇ λατινικῇ μεταφράσει ἡ ἑρμηνεία εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολήν, αἱ ὁμιλίαι εἰς τὸν Εὐαγγελιστὴν Λουκᾶν, εἰς τὸν Ἰησοῦν τοῦ Ναυῆ, εἰς τοὺς Κριτάς, καὶ ἐν μέρει εἰς ἄλλα βιβλία.

(²) Ὁ Ρουφῖνος (praefat. vers. comm. in epist. ad Romanos) γράφει, ὅτι τὰς ὁμιλίας εἰς τὸν Ἰησοῦν τοῦ Ναυῆ, εἰς τὸ βιβλίον τῶν Κριτῶν, εἰς τοὺς Ψαλμ. 36—38. «Μετέφρασεν ἁπλῶς οὕτως, ὡς εὕρισκεν ἐν τῷ ἑλληνικῷ κειμένῳ· ἀλλὰ τὰς ὁμιλίας εἰς τὴν Γένεσιν, τὸ Λευϊτικόν, τὸν Ἡσαΐαν, τὸ Ἆσμα τῶν Ἀσμάτων, τὴν ἑρμηνείαν εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολὴν ἐν τῇ μεταφράσει μετέβαλλε». Τὸ αὐτὸ δεικνύει καὶ ἡ σύνθεσις τῆς μεταφράσεως. Ἡ μετάφρασις τῆς ἑρμηνείας εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιόν ἐστι κακίστη. Τὰ εἴκοσι βιβλία τῆς εἰς τὴν πρὸς Ρωμ. ἐπιστ. ἑρμηνείας συνέστειλεν εἰς δέκα μόνον.

τῷ Ἄσματι τῶν Ἀσμάτων ὑπερέβαλεν αὐτὸς ἑαυτόν» ([1]) γ΄] εἰς τοὺς Θρήνους τοῦ Ἱερεμίου—πολύτιμον μνημεῖον τῆς ἀρχαιότητος· δ΄] εἰς τὸ Εὐαγγέλιον τοῦ Ἰωάννου ὡς ἐπὶ τὸ πλεῖστον μετ᾽ ἐξαιρέτων σημειώσεων περὶ τῆς σημασίας τῶν λέξεων, καὶ ἐκτὸς τούτου μετὰ τεμαχίων τῶν ἀρχαίων μνημείων. ε΄] Τοιαύτη ἐστὶν ἡ οὐ πρὸ πολλοῦ ἐκδοθεῖσα ἑρμηνεία εἰς τὴν Α΄. πρὸς Κορινθίους ἐπιστολήν.

Τὴν ἀξίαν τῶν εἰς τὴν ἁγίαν Γραφὴν ἑρμηνειῶν τοῦ Ὠριγένους δύνανται δεῖξαι οἱ κανόνες, οὓς δίδωσι τῷ ἑρμηνευτῇ.

2.] Δοκίμιά τινα ἑρμηνευτικῶς εἰς τὴν ἁγίαν Γραφὴν εὑρίσκονται καὶ παρὰ τοῖς πρὸ τοῦ Ὠριγένους. Ἀλλ᾽ οὗτος πρῶτος συνήρμοσε, διεσάφησε καὶ ἔταξεν ἐν ὡρισμένῃ τάξει τὰς ἀρχὰς τῆς ἑρμηνείας. Λυπηρὸν δὲ μόνον, ὅτι παρεσύρθη ὑπὸ τῆς ἐπιρροῆς τῆς ἀλεξανδρινο-ἰουδαϊκῆς, ἢ τῆς Φιλωνείου ἑρμηνευτικῆς.

Ἰδοὺ οἱ κανόνες, οὓς δίδωσιν ὁ Ὠριγένης τῷ ἑρμηνευτῇ τῆς ἁγίας Γραφῆς:

1.] «Σὺ οὖν, γράφει πρὸς τὸν ἅγιον Γρηγόριον τὸν Θαυματουργόν, «κύριε υἱέ, προηγουμένως πρόσεχε τῇ τῶν θείων Γραφῶν ἀναγνώσει· ἀλλὰ πρόσεχε· πολλῆς γὰρ προσοχῆς, ἀναγινώσκοντες τὰ θεῖα, δεόμεθα, ἵνα μὴ προπετέστερον εἴπωμέν τινα, ἢ νομίσωμεν περὶ αὐτῶν· καὶ προσέχων τῇ τῶν θείων ἀναγνώσει μετὰ πιστῆς καὶ Θεῷ ἀρεσκούσης προλήψεως, κροῦε τὰ κεκλεισμένα αὐτῆς, καὶ ἀνοιγήσεταί σοι ὑπὸ τοῦ θυρωροῦ, περὶ οὗ εἶπεν ὁ Ἰησοῦς: Τούτῳ ὁ θυρωρὸς ἀνοίγει. Καὶ προσέχων τῇ θείᾳ ἀναγνώσει, ὀρθῶς ζήτει καὶ μετὰ πίστεως τῆς εἰς Θεὸν ἀκλινοῦς τὸν κεκρυμμένον τοῖς πολλοῖς νοῦν τῶν θείων Γραφῶν. Μὴ ἀρκοῦ δὲ τῷ κρούειν καὶ ζητεῖν· ἀναγκαιοτάτη γὰρ καὶ ἡ περὶ τοῦ νοεῖν τὰ θεῖα εὐχή· ἐφ᾽ ᾗ προτρέπων ὁ Σωτήρ, οὐ μόνον εἶπε τό: κρούετε καὶ ἀνοιγήσεται ὑμῖν, καὶ τό: ζητεῖτε καὶ εὑρήσετε, ἀλλὰ καὶ τό: αἰτεῖτε καὶ δοθήσεται ὑμῖν ([2]).

2.] Οὐχ ἑρμηνευτέον τὴν Γραφὴν αὐθαιρέτως, ἀλλ᾽ ἀκολουθη-

([1]) Epist. 41. (65) ad Pammach.

([2]) Ἐπιστ. πρὸς Γρηγόρ. τὸν Νεοκαισαρ. Τ. Α. σελ. 32.

τέον ταῖς ἐνδείξεσι τοῦ ἁγίου Πνεύματος (1), παραβλητέον τὰ χωρία πρὸς ἄλληλα (2).

3.] Εἰ εὕρηται σκοτεινόν τι ἐν τῇ Γραφῇ, μὴ νόμιζε, λέγει, ὅτι ἐν αὐτῷ τούτῳ ἐστὶ περιττόν τι· αἰτιῶ σεαυτὸν ὁ μὴ κατανοῶν, ἡ δὲ Γραφὴ αὐτὴ ἑαυτὴν καταβεβαιοῖ (3). Τολμηροὶ φαίνονται ἐκεῖνοι, οἵ, εὑρίσκοντες σολοικισμούς, μεταβάλλουσι τὰς λέξεις τοῦ ἱεροῦ κειμένου (4).

4.] Διακριτέον τὰ λέγοντα πρόσωπα τῶν πρὸς ἃ ὁ λόγος ἐν τῇ ἁγίᾳ Γραφῇ· ἐν δὲ τῷ παραβολικῷ λόγῳ δεῖ στρέφειν τὴν προσοχὴν εἰς τὸ κύριον ἀντικείμενον καὶ μὴ ἐρίζειν περὶ ἑκάστης αὐτοῦ λέξεως (5).

5.] Πρὸς κατάληψιν τῆς ἁγίας Γραφῆς ἀνάγκη γινώσκειν τὰς φιλολογικὰς ἐπιστήμας καὶ φιλοσοφίαν (6).

6.] Ἐν τῇ Γραφῇ διακριτέον τριπλῆν ἔννοιαν—τὴν κατὰ γράμμα, τὴν ἠθικήν, καὶ τὴν μυστικήν (7). Ὁ κανὼν οὗτος ἐλήφθη ἐκ τῆς Φιλωνείου μεθόδου τῆς ἑρμηνείας. Ἐξετάσωμεν αὐτὸν κατὰ μέρη.

α΄.] Ἡ κατὰ γράμμα ἔννοια, κατὰ τὸν Ὠριγένην, οὐχ εὑρίσκεται πανταχοῦ ἐν τῇ Γραφῇ· οὐδ᾽ ἔστιν ἐκεῖ ἔνθα ἀπωθοῦμεν ἀνθρωπολογικὰς περὶ Θεοῦ ἐκφράσεις (8). Τοῦτο ἀναντιρρήτως ἐστὶν ὀρθόν. Καὶ εἰς τὸν Ὠριγένην οὐ μικρὸς ὀφείλεται ἔπαινος, ὅτι ἐξησθένισε τὴν πρὸς τὸν ἀνθρωπομορφισμὸν τάσιν τῶν Ἐβιωναίων, καὶ τοῦ Παπίου, παρασυρθέντος ἐντεῦθεν εἰς τὴν περὶ τῆς χιλιετοῦς βασιλείας δόξαν. Αἱ ἑρμηνεῖαι τοῦ Ὠριγένους διαπρέπουσι καὶ κατὰ τοῦτο, ὅτι λίαν ἀσχολοῦνται περὶ τὴν γραμματικὴν ἅμα καὶ ἱστορικὴν ἔννοιαν τῶν λέξεων τῆς ἁγίας Γραφῆς, καὶ τιθέασιν αὐτὴν ὡς βάσιν τῆς ἀλληγορικῆς ἑρμηνείας (*).

(1) Ὁμιλ. Β΄. εἰς Ἰεζεκιήλ, Τόμ. Γ΄. σελ. 362.

(2) Τῶν εἰς τὸ κατὰ Ματθ. σελ. 460.

(3) Φιλοκαλ. κεφ. α΄. β΄. ιβ΄. ὑπόμν. εἰς Ἰεζεκιήλ, Τόμ. Γ΄. σελ. 352.

(4) Φιλοκαλ. κεφ. δ΄. ή.

(5) Φιλοκαλ. κεφ. ζ΄.

(6) Φιλοκαλ. κεφ. ιγ΄. ιδ΄.

(7) Ὁμιλ. έ. εἰς Λευϊτ. Τόμ. 2. σελ. 209. 184.

(8) Περὶ Ἀρχ. Τ. I. σ. 164. 165. 182.

(*) Συγκρίνει τὰ παράλληλα χωρία, π. χ. ἐν ταῖς εἰς τὸ Εὐαγγέλιον

β΄.] Λίαν ἐπαινετὸς ὁ ζῆλος τοῦ Ὠριγένους εἰς τὸ οἰκοδομεῖν ἑαυτόν τε καὶ τοὺς ἄλλους ἠθικαῖς διδασκαλίαις. Ἐν τῇ ἑρμηνείᾳ τῆς Γραφῆς ἐζήτει τὴν ἠθικὴν ἔννοιαν ἐν τῷ νόμῳ, ἐν τῇ ἱστορίᾳ τῶν γεγονότων, καὶ τῇ καταστάσει τῆς ψυχῆς (1). Ἀλλ᾽ εἰ τὸ γράμμα τῆς Γραφῆς δύναται δεικνύναι τὴν ἠθικὴν ἔννοιαν, ἢ ἡ ἠθικὴ ἔννοια ἐξάγεται ὡς πόρισμα ἔκ τινος ἐννοίας τῆς Γραφῆς, ἡ ἔννοια αὕτη οὐκ ἔχει σημασίαν ἑτέρας κεχωρισμένης ἐξ ἴσου τῇ κατὰ γράμμα.

γ΄.] Ὁ Ὠριγένης ἔλεγεν ὀρθῶς, ὅτι τὸ γράμμα κτείνει πάντα, ὅστις ἐν πνεύματι Ἰουδαίου στερεῖ τὴν Γραφὴν τῆς μυστικῆς ἐννοίας(2), ἀλλὰ παρασύρεται ὑπὸ τοῦ Φίλωνος, ὅτε αα] νομίζει, ὅτι ἡ ἀξία, ἡ προσήκουσα ταῖς μωσαϊκαῖς τελεταῖς, δύναται τηρεῖσθαι μόνον τῇ μυστικῇ αὐτῶν σημασίᾳ(3), ἢ ὅτε τὸ αὐτὸ νομίζει περί τινων περιστάσεων τοῦ βίου τῶν προσώπων τῆς Παλαιᾶς Διαθήκης(4). Ἐνταῦθα ἐπιλανθάνεται τῆς ἀποστολικῆς διδασκαλίας περὶ τῆς καταστάσεως τῶν ἀνθρώπων τῆς Παλαιᾶς Διαθήκης, καὶ περὶ τῶν ἀναγκαίων ἐν τῷ βίῳ αὐτῶν στοιχείων (Γαλ. δ΄. 3). Καὶ αὐτὸς οὗτος ἀντέχεται τῆς ἱστορικῆς σημασίας τῶν ἀρχαίων γεγονότων ὡς ἐπὶ τὸ πλεῖστον(5), καὶ λόγον ποιούμενος περὶ τῆς ἱστορίας τῆς κιβωτοῦ τοῦ Νῶε, σημειοῖ: «τοῦτο, καθ᾽ ὅσον ἀναφέρεται πρὸς τὴν ἱστορίαν, εἴρηται κατ᾽ ἐκείνων, οἵτινες ἐπιχειροῦσι διελέγξαι τὰς Γραφὰς τῆς

τοῦ Λουκᾶ ὁμιλίαις(Τ. 3. σελ. 933) παραβάλλει τὸν Λουκ. 12. 58. 59. καὶ Ματθ. 5. 25. 26. σημειῶν, ὅτι παρὰ τῷ τελευταίῳ ἓν πρόσωπον— *ἄρχων* παρελείφθη, ἕτερον δ᾽ ἀντικατεστάθη ὑπὸ ἄλλου. Ἀναφέρει τὰ ἄριστα τῶν ἀπογράφων πρὸς βεβαίωσιν τῆς γνώμης αὐτοῦ (ὁμιλ. ή. εἰς Ἱερεμ. Τόμ. 3. σελ. 130)· παραναγινώσκει τὰς μεταφράσεις (ὁμιλ. Ε΄. εἰς τὴν Γέν. σελ. 75)· διασαφεῖ πολλὰ ἐκ τῆς ἱστορίας· ἀναζητεῖ τὴν παραγωγὴν τῶν λέξεων, δεικνὺς τὴν σημασίαν τῶν ἐκφράσεων (ὁμιλ. Ι΄. εἰς Λουκ. Τόμ. 3. σελ. 574).

(1) Ὁμιλ. εἰς τὴν Ἔξοδ. Τ. 2. σ. 12. 136. τῶν εἰς τὸ κατὰ Ματθ. Τ. 5. σελ. 503.

(2) Περὶ Ἀρχ. Ε. 5. 6. Hieron. ep. ad. Magnum.

(3) Ὁμιλ. εἰς Λεβιτ. Τ. 2. σ. 226. ἴδ· καὶ ὁμιλ. ιά. εἰς Ἀριθμ. Τόμ. 2. σ. 304. εἰς Ἔξοδ. ὁμιλ. ιά. σ. 171.

(4) Ἴδ. ἱστορ. Ἀβιμέλεχ. ὁμιλ. ς΄. εἰς Γέν. ἱστορ. Ρεβέκας. Ὁμιλ. Ί. εἰς Γέν. καὶ καθ.

(5) Περὶ Ἀρχ. δ΄. σελ. 192. Φιλοκαλ. κεφ. 19.

Παλαιᾶς Διαθήκης, ὡς περιεχούσας δῆθεν ἀδύνατόν τι καὶ ἀσύμφωνον τῷ λογικῷ» (1). ϛϛ] Λίαν παρασύρεται ὑπὸ τοῦ Φίλωνος, ὅτε διαιρεῖ τὴν μυστικὴν ἔννοιαν εἰς ἀλληγορικὴν καὶ ἀναγωγικήν, ἀναφέρων τὴν μὲν πρώτην εἰς τὴν ἐπὶ γῆς Ἐκκλησίαν τοῦ Χριστοῦ, τὴν δὲ τελευταίαν εἰς τὸν κόσμον τῶν ὑψίστων οὐρανίων χωρῶν (2). Τὸ σφαλερὸν τῆς τοιαύτης διαιρέσεως ᾐσθάνετο καὶ αὐτός, διότι ἀποφαίνεται περὶ αὐτῆς ἐν εἴδει γνώμης, καὶ ἐσθ᾽ ὅτε ἀντικαθίστη τὴν τελευταίαν ἔννοιαν μόνῃ τῇ ἠθικῇ. γγ] Ὡσαύτως αὐθαίρετος ἡ δοξασία αὐτοῦ, ὅτι ἐν ἅπασι τοῖς χωρίοις, ἔνθα ἐστὶ κατὰ γράμμα ἔννοια, ζητητέον τὴν μυστικήν (3). Κατὰ τοῦ κανόνος τούτου αὐτὸς οὗτος ἐσημείωσέ ποτε: «Διὰ τί ζητητέον τὴν ἀλληγορίαν ἐκεῖ, ἔνθα οἰκοδομεῖ τὸ γράμμα . . . ; Πολλὰ τηρητέον τέλεον ὡς γέγραπται» (4).

Αἱ τοιαῦται πρὸς ἑαυτὸν ἀσυμφωνίαι ἔν τε τοῖς κανόσι καὶ τῇ παραθέσει τῶν κανόνων πρὸς τὴν πεῖραν προέρχονται ἐκ τοῦ ὅτι ἀφ᾽ ἑνὸς παρεσύρετο ὑπὸ τοῦ παραδείγματος τῶν σοφῶν ἀλεξανδρινῶν Ἰουδαίων, ἀφ᾽ ἑτέρου δὲ λίαν ἠπατᾶτο ὑπὸ τῆς ἐλπίδος τοῦ ὁρᾶν ἐν τῇ ἀλληγορικῇ ἑρμηνείᾳ τῆς Γραφῆς τὸ μέσον τοῦ ἐλέγχειν τὸν Ἰουδαῖον, τὸν κτείνοντα τῷ γράμματι τὸ πνεῦμα, καὶ ἀνασκευάζειν τὰς προσβολὰς τῶν σοφῶν ἐθνικῶν κατὰ τοῦ περιεχομένου τῆς ἁγίας Γραφῆς (5). Αἱ προθέσεις αὗται ἦσαν εἰλικρινεῖς, καὶ διὰ τῆς ἀλληγορικῆς ἑρμηνείας, ὡς καὶ τῆς γραμματικῆς ἅμα καὶ ἱστορικῆς, παρέσχε μεγάλην ὠφέλειαν ἐν τοῖς κατ᾽ αὐτὸν καὶ τοῖς μετὰ ταῦτα χρόνοις (6). Ὀψόμεθα, ὅτι πολὺς ἔτι χρόνος παρελεύσεται, ἕως ἂν ἥ τε ἀλληγορικὴ καὶ ἡ γραμματικὴ ἅμα καὶ ἱστορικὴ ἑρμη-

(1) Ὁμιλ. Β΄. εἰς τὴν Γέν.
(2) Περὶ Ἀρχ. Τ. 1. σ. 134. 186. Πρβλ. ὁμιλ. ιά. εἰς Ἀριθμ. Τόμ. 2. σελ. 307. Ὁμιλ. ά. εἰς Λευϊτ. Τ. 2. σελ. 787. Τῶν εἰς τὸ κατὰ Ἰωάννην ἐξηγητ. Τόμ. 2. σελ. 283.
(3) Περὶ Ἀρχ.
(4) Ὁμιλ. ιά. εἰς Ἀριθμ.
(5) Τοῦτο δῆλον κατ᾽ ἐξοχὴν ἐν τῷ κατὰ Κέλσου συγγράμματι.
(6) Ὁ μέγας Βασίλειος καὶ ὁ Θεολόγος Γρηγόριος κατεχώρησαν πολλὰ ἐκ τῶν ἑρμηνειῶν αὐτοῦ ἐν τῇ Φιλοκαλίᾳ. Καὶ πάντες δὲ οἱ Πατέρες τοῦ τετάρτου αἰῶνος, ἀνατολικοί τε καὶ δυτικοί, ἐχρῶντο τοῖς ὑπομνήμασι τοῦ Ὠριγένους. Ἴδ. περὶ Ἱλαρίου, Ἀμβροσίου, Ἱερωνύμου, Γρηγορίου τοῦ Νύσσης, καὶ ἄλλων.

νεία ἐξισωθῶσιν ἐν τῷ διδασκαλείῳ τῆς Ἀντιοχείας κατ᾿ ἐξοχὴν διὰ τῶν πονημάτων καὶ τῆς τέχνης τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου [α].

### §. 94. ΙΙ. *Ἀπολογητικὰ πονήματα τοῦ Ὠριγένους· τὸ κατὰ Κέλσου σύγγραμμα.*

Καθ᾿ ἅπαντα τὸν ἑαυτοῦ βίον ὁ Ὠριγένης ἠγωνίζετο πρὸς τοὺς Ἐθνικοὺς καὶ τοὺς Γνωστικούς. Ἀλλὰ μέχρις ἡμῶν ἀφίκετο ἓν ἀπο-

---

[α] « Εἰ καὶ ἀδύνατον, λέγει ὁ σοφὸς J.—A. Moehler, ἐπαινέσαι τὸν Ὠριγένην ἀπολύτως, οὐχ ἧττόν ἐστι βέβαιον, ὅτι παρέσχε μεγάλας ὑπηρεσίας τῷ αἰῶνι αὐτοῦ. Ἡ Ἐκκλησία ἠναγκάζετο κατὰ τὸν χρόνον ἐκεῖνον ἔχειν τοὺς ὀφθαλμοὺς προσηλωμένους ἐπὶ τάσεων πάνυ διαφόρου φύσεως, καὶ ὁ Ὠριγένης ἠδυνήθη ἀγαγεῖν αὐτὰς εἰς ἓν κοινὸν κέντρον. Προσκολλώμενος ἀφ᾿ ἑνὸς μὲν τῇ γραμματικῇ καὶ ἱστορικῇ ἐννοίᾳ, ἐπιδρᾷ ὠφελίμως ἐπὶ τῶν Γνωστικῶν καὶ κατ᾿ αὐτῶν, διότι διαστρέφοντες, κατὰ τὸ δοκοῦν αὐτοῖς, τὰ γεγονότα τῆς χριστιανικῆς ἀποκαλύψεως, μετήλλαττον αὐτὴν καθ᾿ ὁλοκληρίαν εἰς φανταστικὴν θεωρίαν. Ἐν ᾧ δὲ οὗτοι κατέστρεφον ἅπασαν τὴν ἱστορίαν τοῦ Εὐαγγελίου ὑπὸ ψευδῆ ἰδεαλισμόν, ὑπῆρχον ἄλλοι, οἵτινες οὐκ ἠδύναντο ἀρθῆναι ὑπὲρ τὸ ξηρὸν γράμμα. Οὗτοι ἐν τῇ ψυχρᾷ αὐτῶν τάσει ἔλαβον ἐκ τῶν ὑπομνημάτων τοῦ Ὠριγένους εὐνοϊκὴν ἐντύπωσιν, ἧς τὸ ἀποτέλεσμα διετέλει γιγνόμενον ἐπαισθητὸν πολὺν χρόνον μετὰ τὸν θάνατον αὐτοῦ, μέχρις οὗ δύο ἀντίθετα συστήματα, ὁ ἰδεαλισμὸς καὶ ἡ παχυλωτάτη ἑρμηνεία, ἀπώλοντο ἐν τῇ σχολῇ τῆς Ἀντιοχείας, καὶ παρήγαγον ἐξήγησιν πλήρη πνεύματος καὶ ζωῆς, βασιζομένην ἐπὶ τῶν ἀληθῶν ἀρχῶν. Ἀφ᾿ ἑτέρου δὲ πανταχοῦ ὁ Ὠριγένης ἐπιδείκνυσι βαθεῖαν γνῶσιν τοῦ χριστιανισμοῦ, πανταχοῦ καθίστησι δῆλον τὸν ἑαυτοῦ χαρακτῆρα· ἀντέχεται τοῦ πρακτικοῦ μέρους τῆς θρησκείας, καὶ κατὰ τοῦτό ἐστιν αὐστηρότατος, καὶ τῆς τελειότητος τοῦ ἔσω ἀνθρώπου, χρώμενος πίστει, κατακυριευούσῃ τοῦ ἀνθρώπου καὶ δηλουμένῃ διὰ πασῶν αὐτοῦ τῶν πράξεων. Ἡ τάσις αὕτη, καθάπερ ἡ ἐναντίωσις αὐτοῦ τῇ ὑποκριτικῇ ἐπιστήμῃ τῶν κατ᾿ αὐτὸν αἱρετικῶν, ἡ ἐξέλυε τὰς ψυχάς, παρώρμησεν αὐτὸν εἰς τὴν ζήτησιν τῆς ἠθικῆς ἐννοίας, ὁσάκις τὸ κείμενον οὐκ ἐφαίνετο αὐτῷ πάνυ σαφὲς πρὸς τοῦτο. Πρὸς δὲ ἐπιδείκνυσιν ἐν τῇ ἀλληγορικῇ αὐτοῦ ἑρμηνείᾳ ἔκτακτον ἀγχίνοιαν καὶ πλουσιωτάτην ἅμα καὶ λαμπροτάτην φαντασίαν. Πολλάκις ἀπολογεῖται ὑπὲρ τῆς ἑρμηνείας αὐτοῦ, καὶ ἐν ταῖς ἰδίαις ὁμιλίαις προ-

λογητικὸν αὐτοῦ σύγγραμμα, τὸ κατὰ Κέλσου, θαυμάσιον σύγγραμμα, ᾧ ὅμοιον οὐκ ἐγένετο πρὸ τοῦ Ἀδαμαντίου. Ὁ ἐπικούρειος Κέλσος, γνωστὸς ἐπὶ τοῦ Ἀδριανοῦ, ἔγραψε πιθανῶς ἐπὶ τοῦ Μάρκου Αὐρηλίου τὸν ἑαυτοῦ ἀληθῆ Λόγον, ἐν ᾧ ἐσπούδασε πολεμῆσαι τῷ χριστιανισμῷ φιλοσοφικῶς τε καὶ πολιτικῶς(¹). Πᾶν ὅ,τι ἠδύνατο εἰπεῖν ὁ κακοήθης χλευασμός, ἡ λεπτὴ ἀγχίνοια τοῦ δακεθύμου, ἡ εὔστροφος διαλεκτικὴ τοῦ πολυμεταβόλου, ἔγραψεν ὁ Κέλσος περὶ τοῦ χριστιανισμοῦ, διαπρέπων ἐπὶ εὐφυΐᾳ, βαθυνοίᾳ καὶ πολυμαθείᾳ. Ὁ Κέλσος ἐγίγνωσκεν ἄριστα τὸ ἔργον αὐτοῦ. Ὁ Πορφύριος καὶ ὁ Ἰουλιανὸς ἦσαν ὑποδεέστεροι αὐτοῦ, καὶ οἱ τοῦ δεκάτου ὀγδόου αἰῶνος χριστιανοὶ ἐπικούρειοι ἀντέγραφον τοὺς λόγους αὐτοῦ, καίπερ μεμψιμοιροῦντες, ὅτι οὐκ ἀφίκοντο μέχρις αὐτῶν συγγράμματα εὐφυῶν ἐθνικῶν κατὰ τοῦ χριστιανισμοῦ. Ἐπὶ μίαν περίπου ἑκατονταετηρίδα ἔμεινε τὸ σύγγραμμα τοῦ Κέλσου ἄνευ ἀπαντήσεως. Ὁ δὲ Ὠριγένης ἀκουσίως ἐπεχείρησε τῇ ἐπιστημονικῇ αὐτοῦ ἀνασκευῇ. Τὸ ὑπερασπίσαι τὸν χριστιανισμὸν ὁ Ὠριγένης ἡγεῖτο ἔργον Ὁμολογητοῦ τοῦ Χριστοῦ. Τέλος ὑπακούσας τῇ λιπαρᾷ τοῦ Ἀμβροσίου αἰτήσει, ἥψατο τοῦ ἔργου, τοῦθ' ὅπερ συνέβη τῷ σμθ'. ἔτει (²). Ὁ Ὠριγένης

τρέπει τοὺς ἀκροατὰς αὐτοῦ ζητεῖν ἐξαρκεστέραν· ἄλλοτε δὲ φοβεῖται μὴ φαίνηται βεβιασμένη καὶ δείκνυται ἕτοιμος δοῦναι κρείττονα» Patrolog. T. 2. p. 106—107 de la traduct. française). Σ. Μ.

(¹) Ὁ Κέλσος, κατὰ τὸν Ὠριγένην (α, 8), «ἔζη κατὰ Ἀδριανὸν καὶ κατωτέρω». Ὁ Λουκιανὸς ἀφιέρωσεν αὐτῷ ἐπὶ τοῦ Κομμόδου *τὸν ψευδόμαντιν* αὐτοῦ. Ὁ Κέλσος ἐν τῷ *ἀληθεῖ λόγῳ* αὐτοῦ ἠβουλήθη φανῆναι καὶ πλατωνικός (κατὰ Κέλσου δ'. 83. ά. 8.), ἀλλ' ἦν τὴν ψυχὴν ἐπικούρειος (αὐτόθ. έ. 6).

(²) Ὁ Εὐσέβιος: «Ἐν τούτῳ καὶ τὰ πρὸς τὸν ἐπιγεγραμμένον καθ' ἡμῶν Κέλσου τοῦ ἐπικουρείου *ἀληθῆ λόγον* ὀκτὼ τὸν ἀριθμὸν συγγράμματα συντάττει» (Ἐκκλησ. ἱστορ. ς'. 36.). Αὐτὸς ὁ Ὠριγένης λέγει, ὅτι ἡ Ἐκκλησία πρὸ πολλοῦ ἤδη ἀπήλαυεν εἰρήνης, ἀλλ' ὅτι ἀπειλεῖ αὐτῇ συμφορά, τῶν συκοφαντῶν ἐπιρριπτόντων αὐτῇ τὴν αἰτίαν τῆς ἐπὶ τοσοῦτον φοβερᾶς τότε στάσεως (βιβλ. γ'. 15). Μετὰ τὸν διωγμὸν τοῦ Μαξιμίνου μέχρι τοῦ 249 παρῆλθον δώδεκα ἔτη. Ἡ στάσις, ἧς μνείαν ποιεῖται, ἐστὶν ἡ τοῦ Δεκίου, ἧς προηγήθησαν ἡ τοῦ Ἰοταπιανοῦ ἐν Συρίᾳ καὶ ἡ τοῦ Μαρίνου ἐν Παννονίᾳ.

ἐξεπλήρωσε τὴν εὐσεβῆ ἐπιχείρησιν ὡς ἄριστα, ἐπὶ λέξεως δὲ ἀναφέρων τὰς λέξεις τοῦ Κέλσου, παρακολουθεῖ αὐτῷ βῆμα πρὸς βῆμα μετὰ θριαμβευτικῆς δυνάμεως ἐξερευνητικοῦ, βαθέος καὶ εὐρέος νοῦ, ὅ,τι δὲ κατ' ἐξοχὴν ὑψοῖ τὸν Ὠριγένην, ἐστὶν ἡ ἀταραξία αὐτοῦ ἐρειδομένη ἐπὶ τῆς, ἣν αὐτὸς ἐγίγνωσκεν, εὐθύτητος τῆς ἑαυτοῦ ὑποθέσεως, δι' ἧς διεξελέγχει τὸν ἀντίπαλον, πολλάκις ἔξω ἑαυτοῦ γιγνόμενον. Τὸ κατὰ Κέλσου σύγγραμμά ἐστιν ἀθάνατον ἔργον τοῦ θαυμασίου Ὠριγένους[*].

Ὁ Ὠριγένης ἐπιμέμφεται τῷ Κέλσῳ, ὅτι συνέγραψεν ἄνευ τάξεως τὸ σύγγραμμα αὐτοῦ. Διὸ καὶ ἐν τῷ κατὰ Κέλσου συγγράμματι ἀπαντῶσιν ἐπαναλήψεις.

Ἐν τῷ πρώτῳ βιβλίῳ εἰς τοὺς λόγους τοῦ Κέλσου, ὅτι οἱ χριστιανοὶ κρύβδην πρὸς ἀλλήλους συνθήκας ποιοῦνται παρὰ τὰ νενομισμένα, ἀποκρίνεται α'.] ὅτι ἡ χριστιανικὴ διδασκαλία μάχεται πρὸς μυστικὸν ἐχθρὸν (τὸν διάβολον), β'.] ὅτι αὕτη ἐστὶ γνωστὴ εἰς ἅπαντα τὸν κόσμον, καὶ οὔτε τὴν φιλοσοφίαν, οὔτε τοὺς φιλοσόφους φοβεῖται, ἅτε δὴ ἐπὶ τῆς ἱστορίας ἐρειδομένη, καὶ γ'.] ὅτι τὸ ἀπόρρητον, ὅπερ ἀνήκει εἰς αὐτήν, ἐστιν ἰδιότης τῆς ὑψηλῆς ἀξίας τῆς πίστεως. Οἱ Χριστιανοὶ πιστεύουσι, λέγει ὁ Κέλσος ἄνευ ἐρεύνης. Ὁ Ὠριγένης ἀποκρίνεται ά.] ὅτι ἡ χριστιανικὴ διδασκαλία αὐτὴ καθίστησιν αἰσθητὴν τὴν θείαν αὐτῆς δύναμιν, β'.] ὅτι ἡ ἐμπιστοσύνη ἐστὶν ἀναγκαία τῷ μαθητῇ, ἡ δὲ πίστις ἐστιν ἡ βραχυτάτη καὶ κοινοτάτη ὁδὸς ἡ ἄγουσα πρὸς τὴν ἀλήθειαν, γ'.] ὅτι ἡ πίστις τῶν Χριστιανῶν οὐκ ἐστιν ἁπλῆ δοξασία, οὐδὲ περιέχει ψευδές τι καὶ

[*] Τὸ σύγγραμμα τοῦτο ἐξεδόθη πολλάκις ἰδιαιτέρως. Ὁ Π. Νικόλαος ὁ Ε'. ἠβουλήθη ἀνθ' οἵας δήποτε τιμῆς πορίσασθαι αὐτό. Ἡ λατινικὴ μετάφρασις ἐτυπώθη μετὰ τὸν θάνατον αὐτοῦ ἐν Ρώμῃ τῷ 1481. Ἑλληνιστὶ καὶ λατινιστὶ ἐξεδόθη ὑπὸ Γεσσενίου ἐν Αὐγούστῃ, μετὰ τῆς *Φιλοκαλίας* ὑπὸ Σπεγκέρου, 1658. Cantabr.—Origenes Acht Bücher üb. d. Wahrheit d. Christ. Religion übers. v. Mosheim, Hamb. 1745. Ἡ γαλλικὴ μετάφρασις τοῦ Bouchéreau ἐξεδόθη τῷ 1700 ἐν Ἀμστελοδάμῳ.

πεπλασμένον. Ὁ Θεός ἐστιν ὁ αἴτιος αὐτῆς, καὶ μόνῃ τῇ ἀμαθείᾳ εἰσὶν ἄγνωστοι αἱ βάσεις αὐτῆς [α].

[α] Ὁ σοφιστὴς Κέλσος ὀνειδίζει πρὸς τοῖς ἄλλοις τῷ Θεῷ καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ ἐπὶ τῷ ἐκ κώμης αὐτὸν γεγονέναι ἰουδαϊκῆς, καὶ ἀπὸ γυναικὸς ἐγχωρίας καὶ πενιχρᾶς καὶ χερνήτιδος. Ὁ μέγας Ὠριγένης ἀποκρίνεται θαυμασίως εἰς ταῦτα, λέγων: «Ἀνθρώποις μὲν γὰρ συμβάλλεται πρὸς τὸ γενέσθαι τινὰ αὐτῶν διάσημον καὶ ἔνδοξον καὶ τὸ ὄνομα αὐτοῦ διαβόητον γένος, ὅταν οἱ γονεῖς ἐν ὑπεροχῇ καὶ προαγωγῇ τυγχάνωσι, καὶ πλοῦτος τῶν ἀναθρεψαμένων, καὶ δυνηθέντων ἀναλῶσαι εἰς παίδευσιν τοῦ υἱοῦ, καὶ πατρὶς μεγάλη τις οὖσα καὶ ἐπίσημος. Ὅταν δὲ πάντα τὰ τούτοις ἐναντία ἔχων τις δυνηθῇ ὑπερκύψας τὰ ἐμποδίζοντα αὐτὸν γνωσθῆναι, καὶ σεῖσαι τοὺς περὶ αὐτοῦ ἀκούοντας, καὶ γενέσθαι ἐμφανὴς καὶ δῆλος οἰκουμένῃ ὅλῃ, τὰ ἀνόμοια λεγούσῃ περὶ αὐτοῦ· πῶς οὐ θαυμαστέον τὴν τοιαύτην φύσιν, αὐτόθεν μὲν ὡς μεγαλοφυῆ, καὶ μεγάλοις ἐπιβάλλουσαν πράγμασι, καὶ ἔχουσαν παρρησίαν οὐκ εὐκαταφρόνητον; Εἰ δὲ καὶ ἐπὶ πλεῖον ἐξετάζοι τις τὰ κατὰ τὸν τοιοῦτον, πῶς οὐκ ἂν ζητήσαι, τίνα τρόπον ἐν εὐτελείᾳ καὶ πενίᾳ ἀνατεθραμμένος, καὶ μηδεμίαν ἐγκύκλιον παιδείαν παιδευθείς, μηδὲ μαθὼν λόγους καὶ δόγματα, ἀφ' ὧν κἂν πιθανὸς γενέσθαι ἠδύνατο ὁμιλεῖν ὄχλοις, καὶ δημαγωγεῖν, καὶ ἐπάγεσθαι ἀκροατὰς πλείονας, ἐπιδίδωσιν ἑαυτὸν διδασκαλίᾳ καινῶν δογμάτων, ἐπεισάγων τῷ γένει τῶν ἀνθρώπων λόγον, τάτε Ἰουδαίων ἔθη καταλύοντα, μετὰ τοῦ σεμνοποιεῖν αὐτῶν τοὺς προφήτας, καὶ τοὺς Ἑλλήνων νόμους μάλιστα περὶ Θεοῦ καθαιροῦντα; Πῶς δ' ἂν ὁ τοιοῦτος, καὶ οὕτως ἀνατεθραμμένος, καὶ μηδὲν (ὡς καὶ οἱ κακολογοῦντες αὐτὸν ὁμολογοῦσι) σεμνὸν παρὰ ἀνθρώπου μαθών, τοιαῦτα περὶ κρίσεως Θεοῦ, καὶ κολάσεων μὲν τῶν κατὰ τῆς κακίας, τιμῶν δὲ τῶν ὑπὲρ τοῦ καλοῦ λέγειν ἠδύνατο οὐκ εὐκαταφρονήτως; . . . Ὁ μὲν οὖν παρὰ τῷ Πλάτωνι Σερίφιος ὀνειδίζων τῷ Θεμιστοκλεῖ, διαβοήτῳ γεγενημένῳ ἐπὶ τῇ στρατηγίᾳ . . . «ὅτι οὐκ ἂν ἐγὼ Σερίφιος ὤν, οὕτως ἔνδοξος ἐγεγόνειν· οὔτε σὺ Ἀθηναῖος εὐτυχήσας γενέσθαι, ἐγένου ἂν Θεμιστοκλῆς». Ὁ δ' ἡμέτερος Ἰησοῦς καὶ ὀνειδιζόμενος ὡς ἐκ κώμης γεγονώς, καὶ ταύτης οὐχ Ἑλλαδικῆς, οὐδέ τινος ἔθνους ὄντος παρὰ τοῖς πολλοῖς ἐν προαγωγῇ . . . . οὐ μόνον Σερίφιος γεγονώς, καὶ ἀπὸ ἐλαχίστης καὶ ἀσημοτάτης νήσου, ἀλλὰ καὶ Σεριφίων (ὡς ἔστιν εἰπεῖν) ὁ ἀγενέστατος, δεδύνηται σεῖσαι τὴν πᾶσαν ἀνθρώπων οἰκουμένην, οὐ μόνον ὑπὲρ Θεμιστοκλέα τὸν Ἀθηναῖον, ἀλλὰ καὶ ὑπὲρ Πυθαγόραν καὶ Πλάτωνα, καί τινας ἄλλους τῶν ὁποι-

Ἐν τῷ δευτέρῳ βιβλίῳ εἰς τὴν ἔνστασιν, ὅτι οἱ Ἰουδαῖοι οὐκ ἐδέξαντο τὸν Ἰησοῦν Χριστόν, ἀποκρίνεται, ὅτι τοῦτο ἀναφέρεται μόνον

ποτοῦν τῆς οἰκουμένης σοφῶν, ἢ βασιλέων ἢ στρατηγῶν. Τίς οὖν μὴ παρέργως ἀνερευνῶν τὴν τῶν πραγμάτων φύσιν, οὐκ ἂν αὐτὸν καταπλαγείη νικήσαντα καὶ ὑπεραναβῆναι δυνηθέντα τῇ δόξῃ τὰ ποιητικὰ ἀδοξίας πάντα καὶ πάντας τοὺς πώποτ' ἐνδόξους; Καίτοι γε οἱ ἐν ἀνθρώποις ἔνδοξοι σπάνιον εἰ ἐπὶ πλειόνων ἅμα τὴν δόξαν ἀναλαβεῖν δεδύνηνται. . . οὗτος δὲ πρὸς τοῖς ἄλλοις θαυμάζεται καὶ ἐπὶ σοφίᾳ, καὶ ἐπὶ δυνάμεσι, καὶ ἐπὶ τῷ ἀρχικῷ. Ἔπεισε γὰρ οὐθ' ὡς τύραννος συναποστῆναι αὐτῷ τινας τῶν νόμων . . . ἀλλ' ὡς διδάσκαλος τοῦ περὶ τοῦ Θεοῦ τῶν ὅλων λόγων, καὶ τῆς εἰς αὐτὸν θρησκείας, καὶ παντὸς ἠθικοῦ τρόπου, δυναμένου οἰκειῶσαι τῷ ἐπὶ πᾶσι Θεῷ τὸν κατ' αὐτὸν βιώσαντα». (§. 29. 30.). Τὸ ἠθικὸν μεγαλεῖον τοῦ Ἰησοῦ Χριστοῦ καὶ τὴν ἐπὶ τῶν ψυχῶν ἀρχὴν Αὐτοῦ ἀντιτίθησιν ὁ Ὠριγένης τῷ σοφιστῇ σκανδαλισθέντι, ὅτι οὐχ' εὗρεν ἐν τῇ γεννήσει τοῦ Υἱοῦ τοῦ Θεοῦ τὴν λαμπρότητα καὶ τὰς ἐπιγείους πομπάς. Εἰ ὁ Κέλσος ἦν ἀληθὴς φιλόσοφος, ἐνόησεν ἄν, ὅτι τὸ μεγαλεῖον τοῦ Θεανθρώπου οὐ συνίστατο εἰς τὴν καταπάτησιν τῶν ἐπιγείων ἀγαθῶν, ὥσπερ ἡ δύναμις αὐτοῦ ὤφειλε λάμψαι ἐν τῇ ἀπουσίᾳ τῆς ἀνθρωπίνης ἰσχύος. Τοῦτο ἐξέθηκεν ὡς ἄριστα ὁ περιώνυμος φιλόσοφος Πασχάλης ἐν τῷ ὑψηλῷ τεμαχίῳ, ἔνθα ἀναπτύσσει τὴν ἰδέαν τοῦ Ὠριγένους. « Tout l' éclat, λέγει, des grandeurs n'a point de lustre pour les gens qui sont dans les recherches de l'esprit. La grandeur de la sagesse, qui n'est nulle part sinon en Dieu, est invisible aux charnels et aux gens d'esprit. Ce sont trois ordres différant en germe. Les grands génies ont leur empire, leur éclat, leur grandeur, leur victoire et leur lustre, et n' ont nul besoin des grandeurs charnelles, où elles n'ont pas de rapport. Ils sont vus non des yeux, mais des esprits; c'est assez. Les saints ont leur empire, leur éclat, leur victoire, leur lustre . . . Dieu leur suffit. Archimède, sans éclat, serait en même vénération. Il n' a pas donné des batailles pour les yeux, mais il a fourni a tous les esprits ses inventions. Oh! qu'il a éclaté aux esprits! Jésus Christ, sans bien et sans aucune production au-dehors de science, est dans son ordre de sainteté. Il n' a point donné d' invention, il n' a point régné; mais il a été humble, patient, saint, saint à Dieu, terrible aux démons, sans aucun péché . . . il eût été inutile à Notre Seigneur Jésus Christ,

πρὸς βλάβην τῶν Ἰουδαίων[β], ἀλλ' οὐχὶ τοῦ χριστιανισμοῦ, ά.] διότι αἱ προφητεῖαι καὶ τὰ θαύματα σαφῶς ἀπεδείκνυσαν ἐν τῷ προσώπῳ

---

pour éclater dans son régne de sainteté, de venir en roi; mais qu' il est bien venu avec l' éclat de son ordre! Il est bien ridicule de se scandaliser de la bassesse de Jésus Christ, comme si cette bassesse était du même ordre du quel est la grandeur qu'il venait faire paraître. Qu'on considère cette grandeur là dans sa vie, dans sa passion, dans son obscurité, dans sa mort, dans l' élection des siens, dans leur abandon, dans sa secrète réssurrection, et dans le reste: on la verra si grande, qu'on n' aura pas sujet de se scandaliser d' une bassesse qui n' y est pas . . . » (Pensées de Pascal, art. XVII. n. 1.). Ὁ Κέλσος ἦν ἐκ τῶν ἀνθρώπων τῶν οὐκ ἐχόντων ἰδέαν τῶν μεγαλείων τῆς ὑπερφυσικῆς τάξεως. Ἡ ἑκούσιος ταπείνωσις τοῦ Ἰησοῦ Χριστοῦ ἀπεπλάνα τὸν ἄνθρωπον τοῦτον μαθόντα κρίνειν περί τε τῶν προσώπων καὶ τῶν πραγμάτων ἐκ μόνης τῆς ἐξωτερικῆς αὐτῶν λάμψεως. Σ Μ.

[β] Τὴν ἀπιστίαν τῶν Ἰουδαίων ἀποδίδωσι πρὸς τοῖς ἄλλοις ὁ μέγας Ὠριγένης εἰς τὴν δύναμιν τῆς τε συνηθείας καὶ τῶν προλήψεων. Ἰδοὺ τί λέγει περὶ τούτου ἐν τῷ 52 κεφ. τοῦ πρώτου βιβλίου. «Χαλεπὸν γὰρ φιλονεικία καὶ πρόληψις πρὸς τὸ ποιῆσαι καὶ τοῖς ἐναργέσιν ἀντιβλέψαι, ἵνα μὴ καταλείψωσι δόγματα δευσοποιήσαντα, οἷς συνήθεις ἐγένοντό πως, καὶ ποιώσαντα αὐτῶν τὴν ψυχήν. Καὶ εὐχερέστερόν γε ἄνθρωπος τὰς περὶ ἄλλα συνηθείας, κἂν δυσαποσπάστως αὐτῶν ἔχῃ, καταλείψαι ἄν, ἢ τὰς περὶ τὰ δόγματα. Πλὴν οὐδ' ἐκεῖνα εὐχερῶς οἱ συνήθεις παρορῶσιν· οὕτως οὐδ' οἰκίας, οὐδὲ πόλεις, ἢ κώμας, οὐδὲ συνήθεις ἀνθρώπους εὐχερῶς βούλονται καταλιπεῖν οἱ προληφθέντες αὐτοῖς. Τοῦτ' οὖν αἴτιον γεγένηται καὶ Ἰουδαίων πολλοῖς τότε τοῦ ἀντιβλέψαι ταῖς ἐνεργείαις τῶν τε προφητειῶν καὶ τῶν τεραστίων, ὧν ἐποίησε, καὶ πεπονθέναι ἀναγέγραπται ὁ Ἰησοῦς . . . » Ὁ λόγος οὗτος ἐρειδόμενος ἐπὶ τῆς σπουδῆς τῆς ἱστορίας καὶ τῆς ἀνθρωπίνης φύσεως ἤρκει καταστρέψαι τὴν ἐκ τῆς ἀπιστίας τῶν Ἰουδαίων λαμβανομένην ἔνστασιν. Ἀλλ' ὁ Ὠριγένης οὐ περιορίζεται εἰς τὰς γενικὰς ταύτας παρατηρήσεις· καὶ ἐπειδὴ ὁ Κέλσος παρεισάγει Ἰουδαῖόν τινα ὁμιλοῦντα κατὰ τῶν Χριστιανῶν, προθυμεῖται ποιήσασθαι εἰδικωτέραν θεωρίαν, ἣν δανείζεται ἐκ τῆς ἱστορίας τοῦ λαοῦ Ἰσραήλ. «Λεκτέον, λέγει, πρὸς αὐτὸν (τὸν Ἰουδαῖον), ὅτι καὶ κατὰ τὸν Μωϋσέως νόμον Θεὸς ἐναργέστατα παραγεγονέναι τοῖς Ἑβραίοις ἀναγεγραμμένος, οὐ μόνον κατὰ τὰ ἐν Αἰγύπτῳ σημεῖα καὶ τέρατα, ἔτι δὲ τὴν δίοδον τῆς Ἐρυθρᾶς θαλάσσης, καὶ

Ἰησοῦ Χριστῷ τὸν Μεσσίαν καὶ Θεόν[*]· β΄.] τὸ αὐτὸ ἀπεδείκνυ ἡ ἐκπλήρωσις ἁπασῶν τῶν ἀρχαίων προφητειῶν ἐν τῷ Ἰησοῦ, ἐπ' ἴσης γ΄.] ἡ πρόρρησις αὐτοῦ περὶ τοῦ θανάτου αὐτοῦ, βεβαιωθεῖσα καὶ ὑπὸ τοῦ Φλέγοντος. Ἡ ἔρις τῶν Χριστιανῶν πρὸς τοὺς Ἰουδαίους, λέγει ὁ Κέλσος, περὶ τῶν προφητειῶν ἐστὶν ἔρις ὅλως ματαία. Ὁ Ὠριγένης ἀποκρίνεται· ὅτι τὸ ζήτημα περὶ τῆς ἐννοίας τῶν προφητειῶν ἀνεξαρτήτως πασῶν τῶν ἄλλων ἐρίδων ἔχει γενικὴν ἀξίαν, ἡ δὲ αἵρεσίς ἐστι μόνον ἀποπλάνησις ἀπὸ τῆς ἀληθείας. Τὰ θαύματα τοῦ Σωτῆρος, λέγει ὁ Κέλσος, εἰσὶ μαγεῖαι, ἢ ἄλλο τι ὁμοιάζον πρὸς

---

τὸν στύλον τοῦ πυρὸς καὶ τὴν νεφέλην τοῦ φωτός, ἀλλὰ καὶ ἡνίκα ἡ δεκάλογος ὅλῳ τῷ λαῷ ἀπηγγέλλετο, ἠπιστήθη ὑπὸ τῶν εἰδότων· οὐκ ἂν γάρ, πιστεύοντες τῷ ἑωραμένῳ καὶ ἀκουσθέντι, μόσχον κατεσκεύασαν· «οὐδ'» ἠλλάξαντο ἂν «*τὴν δόξαν ἑαυτῶν ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον*»· οὐδ' ἔλεγον ἂν πρὸς ἀλλήλους περὶ τοῦ μόσχου· *οὗτοί εἰσιν οἱ θεοί σου Ἰσραήλ, οἵτινες ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου*. Καὶ ὅρα, εἰ μὴ κατὰ τοὺς αὐτούς ἐστι, τηλικούτοις τεραστίοις καὶ τοσαύταις ἐπιφανείαις Θεοῦ καὶ πρότερον ἀπιστῆσαι δι' ὅλης τῆς ἐρήμου, ὡς ἐν τῷ νόμῳ Ἰουδαίων γέγραπται· καὶ κατὰ τὴν Ἰησοῦ παράδοξον ἐπιδημίαν μὴ ἁλῶναι ὑπὸ τῶν μετ' ἐξουσίας αὐτῷ εἰρημένων λόγων, καὶ τῶν παραδόξως αὐτῷ ἐν ὄψει παντὸς τοῦ λαοῦ πεπραγμένων. Καὶ ἱκανά γε νομίζω ταῦτα εἶναι τῷ βουλομένῳ παραστῆσαι τὴν Ἰουδαίων πρὸς τὸν Ἰησοῦν ἀπιστίαν· ὅτι ἀκόλουθος ἦν αὕτη τοῖς ἐξ ἀρχῆς περὶ τοῦ λαοῦ ἀναγεγραμμένοις . . . . Καὶ μαρτυρεῖται, δι' ὧν τῷ Ἰησοῦ ἀπιστεῖτε, ὅτι υἱοί ἐστε τῶν ἐν τῇ ἐρήμῳ ἀπιστησάντων ταῖς θείαις ἐπιφανείαις· καὶ τὸ ὑπὸ Σωτῆρος ἡμῶν εἰρημένον καὶ πρὸς ὑμᾶς λελέξεται ἀπιστήσαντας αὐτῷ· *ὅτι ἄρα μάρτυρές ἐστε, καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν*. Καὶ πληροῦται ἐν ὑμῖν ἡ λέγουσα προφητεία· *ἔσται ἡ ζωὴ ἡμῶν κρεμαμένη ἐνώπιον τῶν ὀφθαλμῶν ὑμῶν, καὶ οὐ μὴ πιστεύσητε τῇ ζωῇ ὑμῶν*. Οὐ γὰρ ἐπιστεύσατε τῇ ἐπιδεδημηκυίᾳ τῷ γένει τῶν ἀνθρώπων ζωῇ». (βιβλ. β΄. κεφ. 74—75). Σ. Μ.

[*] Ἡ ἀπόδειξις τῆς θειότητος τοῦ χριστιανισμοῦ διὰ τῶν προφητειῶν καὶ τῶν θαυμάτων ἐστιν ἓν τῶν λαμπροτάτων μερῶν τοῦ κατὰ Κέλσου συγγράμματος. Ὕψος ἰδεῶν, ζωηρὰ καὶ δεινὴ λογική, λεκτικὸν πλῆρες εἰκόνων καὶ παθητικώτατον διακρίνουσι τὸ μέρος τοῦτο τοῦ συγγράμματος, ὅπερ δύναται χρησιμεῦσαι ὡς ἄριστον πρότυπον τοῦ Χριστιανοῦ Ἀπολογητοῦ. Σ. Μ.

μύθον. Ὁ Ὠριγένης ἀποκρίνεται, ὅτι καὶ φιλοσοφικῶς καὶ ἱστορικῶς ἐστι ψευδὴς ἡ δοξασία αὕτη, διότι συγχέει τὴν ἱστορίαν μετὰ τοῦ μύθου, καὶ τὸν ὑπὸ τοῦ Θεοῦ ἀποσταλέντα Διδάσκαλον τῆς ἀληθείας μετὰ τῶν κοινῶν ἀνθρώπων. Ἡ Ἀνάστασις αὐτοῦ, λέγει ὁ Κέλσος, ἐστὶν ἀπάτη. Ὁ Ὠριγένης ἀποκρίνεται, ὅτι ταύτη ἠκολούθησαν περιστάσεις οὐδεμίαν παρέχουσαι ὑποψίαν ἀπάτης· διότι ὁ θάνατος καὶ ὁ ἐνταφιασμὸς αὐτοῦ ἐτελέσθησαν πρὸ τῶν ὀφθαλμῶν τοῦ λαοῦ,—καὶ παρὰ τῷ τάφῳ ὑπῆρχε φρουρά. Εἴπερ, λέγει ὁ Κέλσος, ὄντως θείαν δύναμιν ἐκφῆναι ἤθελεν ὁ Ἰησοῦς, ἐχρῆν αὐτοῖς τοῖς ἐπηρεάσασι, καὶ τῷ καταδικάσαντι καὶ ὅλως πᾶσιν ὀφθῆναι. Ὁ Ἀπολογητὴς ἀποκρίνεται. ά.] ὅτι οὐκ ἐστιν ἡμέτερον ἔργον ἐπιβάλλειν κανόνας τοῖς θαύμασι· β΄.] ὅτι ἀρκετὸν εἰδέναι, ὅτι ὤφθη τῷ Πέτρῳ, τοῖς δώδεκα, ἔπειτα ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ· γ΄.] ὅτι τὸ κήρυγμα τῶν Ἀποστόλων ἐστιν ἀπόδειξις τῆς Ἀναστάσεως Αὐτοῦ· διότι ἄλλως πόθεν αὐτοῖς ἡ δύναμις, ἡ νικήσασα ἁπάσας τὰς φρίκας τοῦ θανάτου, καὶ ἁπάσας τὰς δυνάμεις τῆς Ῥώμης;

Ἐν τῷ τρίτῳ βιβλίῳ εἰς τὸ ζήτημα πῶς καὶ διὰ τίνας αἰτίας ἐκηρύσετο ἡ πίστις, καὶ αἱ μεταξὺ τῶν χριστιανῶν διαιρέσεις λυμαίνονται τὴν καθαρότητα τῆς πίστεως, ἀποκρίνεται, ὅτι ἡ χριστιανικὴ διδασκαλία ἐκηρύσσετο ἐξ ἁγίων ἀφορμῶν, καὶ ποιεῖται λόγον περὶ τῆς ἁγιότητος. Πρὸς δὲ τὴν κατηγορίαν, ὅτι μόνον οἱ ἀμαθεῖς καὶ κακοήθεις ἄνθρωποι δέχονται αὐτήν, ἀποκρίνεται ά.] ὅτι καὶ τοὺς πεπαιδευμένους δέχονται ἐν τῷ χριστιανισμῷ, ὡς καὶ πάντας καθόλου, ὅμως μετ᾽ ἐπιφυλάξεως· 6΄.] ὅτι αὐτὴ καθ᾽ ἑαυτὴν ἡ ἠθικὴ διδασκαλία αὐτοῦ ἐστιν ἔξοχος· γ΄.] ὅτι εἰ παραδέχονται τοὺς ἁμαρτωλούς, ποιοῦσι τοῦτο, διότι ὁ Θεός ἐστιν εὔσπλαγχνος, καὶ διότι ἐξ ἁμαρτωλῶν καθίστανται δίκαιοι.

Τοῦ τετάρτου βιβλίου ἡ ὑπόθεσίς ἐστι πάνυ σπουδαία. Εἰς τὴν ἔνστασιν, ὅτι ὁ Θεὸς ἠδύνατο σῶσαι τὸν ἄνθρωπον καὶ μὴ ἐνανθρωπῶν, ἡ δὲ ἐνανθρώπησις αὐτοῦ ἐστιν ἀνάρμοστος τῷ ἀμεταβλήτῳ αὐτοῦ, ἀποκρίνεται· τὸ πρῶτον ἐπιχείρημα δείκνυσιν, ὅτι οὐκ ἔχουσιν ὀρθὴν ἔννοιαν περὶ τῆς τοῦ ἀνθρώπου ἐλευθερίας, τὸ δὲ δεύτερον ἐρείδεται ἐπὶ τῆς πεπλανημένης περὶ Θεοῦ ἰδέας καὶ τῆς σχέσεως αὐ-

τοῦ πρὸς τὸν κόσμον [α]. Ὁ Κέλσος καθάπτεται τοῦ χριστιανισμοῦ ὡς καταλύοντος τοὺς νόμους τῆς πολιτικῆς κοινωνίας. Ὁ Ὠριγένης εἰσέρχεται εἰς βαθεῖαν μελέτην περὶ τῶν θείων βουλῶν ὡς πρὸς τὸν κόσμον καὶ τοὺς λαούς, καὶ δείκνυσιν, ὅτι ὁ μὴ ἀπορρίπτων τὴν περὶ τοῦ κόσμου πρόνοιαν τοῦ Θεοῦ οὐ δύναται παραδέξασθαι ἀνεξάρτητον πολιτικὴν νομοθεσίαν, ἀλλὰ παραδέχεται μόνον ἀνεξάρτητον θείαν νομοθεσίαν.

Ἐν τῷ πέμπτῳ βιβλίῳ ἀποδείκνυσι τὴν ἐπὶ τῆς γῆς ἐπιδημίαν τοῦ Θεοῦ διά τε τῶν προφητειῶν καὶ τῆς ἱστορικῆς ἀξιοπιστίας τῶν

---

[α] Ἡ θεότης, ἐν τῇ ἐνανθρωπήσει, μένει ἀμετάβλητος· ἡ ἀνθρωπότης μόνη ὑπόκειται εἰς μεταβολήν. Μία ψυχὴ καὶ ἓν σῶμα ἡνώθησαν τῷ Λόγῳ τοῦ Θεοῦ, ἰδοὺ τὸ πᾶν· Ὁ Λόγος, οὐχ ὑπέστη τὴν ἐλαχίστην μεταβολήν. «Τὸ δὲ καταβεβηκὸς εἰς ἀνθρώπους, λέγει ὁ σοφώτατος Ἀπολογητής, *ἐν μορφῇ Θεοῦ ὑπῆρχε*· καὶ διὰ φιλανθρωπίαν *ἑαυτὸν ἐκένωσεν*, ἵνα χωρηθῆναι ὑπ' ἀνθρώπων δυνηθῇ. Οὐ δήπου δ' ἐξ ἀγαθοῦ εἰς κακὸν γέγονεν αὐτῷ μεταβολή· *ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν*· οὐδὲ ἐκ καλοῦ εἰς αἰσχρόν· *οὐ γὰρ ἔγνω ἁμαρτίαν*· οὐδὲ ἐξ εὐδαιμονίας ἦλθεν εἰς κακοδαιμονίαν· ἀλλ' ἑαυτὸν μὲν ἐταπείνωσεν, οὐδὲν δ' ἧττον μακάριος ἦν, καὶ ὅτε συμφερόντως τῷ γένει ἡμῶν ἑαυτὸν ἐταπείνου. Ἀλλ' οὐδὲ μεταβολή τις αὐτῷ γέγονεν ἐκ τοῦ ἀρίστου εἰς τὸ πονηρότατον· ποῦ γὰρ πονηρότατον τὸ χρηστὸν καὶ φιλάνθρωπον; Ἢ ὥρα λέγειν, καὶ τὸν ἰατρὸν ὁρῶντα δεινά, καὶ θιγγάνοντα ἀηδῶν, ἵνα τοὺς κάμνοντας ἰάσηται, ἐξ ἀγαθοῦ εἰς κακόν, ἢ ἐκ καλοῦ εἰς αἰσχρόν, ἢ ἐξ εὐδαιμονίας εἰς κακοδαιμονίαν ἔρχεσθαι; Καίτοι γε ὁ ἰατρὸς ὁρῶν τὰ δεινά, καὶ θιγγάνων τῶν ἀηδῶν, οὐ πάντως ἐκφεύγει τὸ τοῖς αὐτοῖς δύνασθαι περιπεσεῖν. Ὁ δὲ τραύματα τῶν ψυχῶν ὑμῶν θεραπεύων διὰ τοῦ ἐν αὐτῷ Λόγου Θεοῦ, αὐτὸς πάσης κακίας ἀπαράδεκτος ἦν. Εἰ δὲ καὶ σῶμα θνητὸν καὶ ψυχὴν ἀνθρωπίνην ἀναλαβὼν ὁ ἀθάνατος Θεὸς Λόγος, δοκεῖ τῷ Κέλσῳ ἀλλάττεσθαι καὶ μεταπλάττεσθαι· μανθανέτω, ὅτι ὁ Λόγος τῇ οὐσίᾳ μένων λόγος, οὐδὲν μὲν πάσχει, ὧν πάσχει τὸ σῶμα, ἢ ἡ ψυχή· συγκαταβαίνων δ' ἔσθ' ὅτε τῷ μὴ δυναμένῳ αὐτοῦ τὰς μαρμαρυγὰς καὶ τὴν λαμπρότητα τῆς θειότητος βλέπειν, οἱονεὶ σὰρξ γίνεται, σωματικῶς λαλούμενος, ἕως ὁ τοιοῦτον αὐτὸν παραδεξάμενος, κατὰ βραχὺ ὑπὸ τοῦ Λόγου μετεωριζόμενος, δυνηθῇ αὐτοῦ καὶ τὴν, (ἵν' οὕτως ὀνομάσω) προηγουμένην μορφὴν θεάσασθαι» (§. 15.) Σ. Μ.

περὶ τούτου διηγήσεων. Ἀπολογεῖται ὑπὲρ τοῦ μωσαϊκοῦ νόμου, ὃν κατηγορεῖ ὁ Κέλσος, ὡς κηρύττοντα τὴν ἀποθέωσιν τῶν ἀστέρων, κ.τ.λ. Εἰ ὁ νόμος οὗτός ἐστιν ἅγιος, ἐρωτᾷ ὁ Κέλσος, διὰ τί οὐ τηροῦσιν αὐτόν; Διότι, ἀποκρίνεται ὁ Ὠριγένης, πᾶς καθολικὸς νόμος ἀείποτε ἐπιφυλάσσεται εἰς ἑαυτὸν τὴν ὑποχρεωτικὴν δι᾽ ἅπαντας δύναμιν. Ὁ Κέλσος διϊσχυρίζεται, ὅτι ἅπασαι αἱ θρησκεῖαί εἰσιν ἴσαι· ὁ δὲ Ὠριγένης ἀπαντᾷ, ὅτι ὁ χριστιανισμὸς καὶ ὁ ἐθνισμός εἰσι πάντη διάφοροι κατά τε τὸ πνεῦμα αὐτῶν καὶ τὰ ἀξιώματα· περαιτέρω δείκνυται ἡ σχέσις τῶν αἱρετικῶν πρὸς τὴν Ἐκκλησίαν.

Ἐν τῷ ἕκτῳ βιβλίῳ παραβάλλεται ἡ διδασκαλία τοῦ Πλάτωνος πρὸς τὴν χριστιανικήν· ἡ ἁπλότης τῆς τελευταίας καταδείκνυται διὰ τούτου, ὅτι αὐτὴ ὥρισται δι᾽ ἅπαντας, σοφούς τε καὶ ἀμαθεῖς· μὴ ἀπαιτοῦσα ἐν τούτοις, παρ᾽ οὐδενὸς τυφλὴν εἰς αὐτὴν ὑπακοήν, καθίστησι τοὺς πράους καὶ ταπεινοὺς δούλους τοῦ Θεοῦ. Ὁ Ἰησοῦς Χριστὸς οὐδὲν ἔλαβε παρὰ τοῦ Πλάτωνος. Λύονται ἔπειτα αἱ ἐνστάσεις κατὰ τῆς περὶ τῆς δημιουργίας μωσαϊκῆς ἱστορίας.

Ἐν τῷ ἑβδόμῳ βιβλίῳ δηλοῦται τὸ ἔξοχον τῶν προφητειῶν, παραβαλλομένων πρὸς τὰ χρηστήρια τῶν ἐθνικῶν· δείκνυται, ὅτι μεταξὺ τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης οὐχ ὑπάρχουσιν ἀντιφάσεις. Ἡ ἀνάστασις τῶν νεκρῶν οὐκ ἔστιν ἀντικείμενον ἀλόγου πίστεως. Οἱ χριστιανοὶ οὐ προσφέρουσι θυσίας τοῖς Θεοῖς, διότι προσφέρουσιν ἑαυτοὺς τῷ ἀληθεῖ Θεῷ. Ἐφεξῆς ὁ συγγραφεὺς περαίνει τὸ βιβλίον, ἀπαντῶν διὰ βραχέων μέν, ἀλλὰ λίαν προσφόρως εἰς τὴν ἑπομένην ἐρώτησιν τοῦ Κέλσου «τέτακται δ᾽ ἐφ᾽ ἑκάστῳ (ἔργῳ) δύναμιν λαχὼν τοῦ μεγίστου Θεοῦ, ὅστις ἠξίωται οὑτινοσοῦν ἔργου ;»

Ἐν τῷ ὀγδόῳ βιβλίῳ δείκνυσιν, ὅτι οἱ χριστιανοὶ σέβονται τὸν Θεόν, οἱ δὲ ἐθνικοὶ τὴν ματαιότητα καὶ τὴν κακίαν· οἱ χριστιανοὶ σέβονται τὸν Υἱὸν τοῦ Θεοῦ, οὐχ ὑβρίζοντες διὰ τοῦτο τὸν Πατέρα· διότι σέβονται τὸν εἰπόντα: Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν·

σέβονται τὸν Μονογενῆ, «Ὅς ἐστιν ἡ εἰκὼν τοῦ ἀοράτου Θεοῦ»· σέβονται τοὺς ἀγγέλους ὡς ὑπηρέτας τοῦ Θεοῦ· αἱ ἑορταὶ αὐτῶν οὔκ εἰσιν ὥσπερ τὰ εἰδεχθῆ ὄργια τῶν ἐθνικῶν. Ὁ Κέλσος ἐπιθυμεῖ ἅπαντας τοὺς λαοὺς ἔχειν ἕνα νόμον· ἀλλ᾽ἀμφιβάλλει περὶ τοῦ τῆς ἐκπληρώσεως τοιαύτης ἐπιθυμίας. Ὁ Ἀπολογητὴς ἀποκρίνεται, ὅτι ἡ ἕνωσις ἁπάντων ὑφ᾽ ἕνα νόμον οὐ μόνον ἐστὶ δυνατή, ἀλλὰ καὶ ὑπάρχει πράγματι μεταξὺ τῶν χριστιανῶν.

Τοιοῦτον τὸ περιεχόμενον τοῦ κατὰ Κέλσου συγγράμματος. Τὸ βιβλίον τοῦτο δυνάμεθα ἐγχειρίσαι εὐτόλμως ἑκάστῳ τῶν καθ᾽ ἡμᾶς ἀσεβῶν. Ἄξιον δὲ δι᾽αὐτοὺς σημειώσεως καὶ τοῦτο, ὅτι αὐτὸς ὁ Κέλσος βεβαιοῖ τῇ ἑαυτοῦ μαρτυρίᾳ καὶ τῇ τῶν συγχρόνων αὐτῷ τὰ γεγονότα τοῦ βίου τοῦ Χριστοῦ. Οὐκ ἀμφιβάλλει περὶ τῆς ἱστορικῆς ἀληθείας τῶν θαυμάτων τοῦ Ἰησοῦ Χριστοῦ, ἀλλὰ μόνον σπουδάζει ἐξηγήσασθαι αὐτὰ αὐθαιρέτως (¹)· ἀνέγνω ἐν τῷ Εὐαγγελίῳ τὴν ἱστορίαν τοῦ θανάτου καὶ τῆς ἀναστάσεως Αὐτοῦ (²), τὴν γενεαλογίαν καὶ γέννησιν Αὐτοῦ (³), τὴν διήγησιν περὶ τῆς καταβάσεως τοῦ ἁγίου Πνεύματος ἐπ᾽ Αὐτὸν βαπτιζόμενον (⁴) ἐν Ἰορδάνῃ, καὶ τὰς Προφητείας Αὐτοῦ (⁵). Αὐτὸς ὁ Ὠριγένης πρὸς τοῖς ἄλλοις ποιεῖται λόγον περὶ τῶν θαυμάτων τῶν τελουμένων ὑπὸ τῶν χριστιανῶν ὡς αὐτόπτης (⁶) [*].

III. *Ἠθικὰ συγγράμματα,* καὶ IV. *Δογματικά· αὐθαίρετοι δοξασίαι τοῦ Ὠριγένους· ὀρθὴ διδασκαλία· συμπέρασμα περὶ αὐτοῦ.*

Μεταξὺ τῶν ἠθικῶν συγγραμμάτων τοῦ Ὠριγένους εἰσὶ γνωστὰ

(¹) Βιϐλ. Ά. §. 7, 67, 68. Β΄. 50.
(²) Βιϐλ. Β΄. §. 37, 55, 59. Έ. 52.
(³) Βιϐλ. Β΄. §. 33, Ά. §. 28, 61. Έ. §. 52.
(⁴) Βιϐλ. Ά. §. 40, 41.
(⁵) Βιϐλ. Ά. §. 40. Β΄. 18.
(⁶) Βιϐλ. Ά. §. 2, 6. Δ΄. 34. Ζ΄. 67.
[*] Περὶ τῆς ἐπιστημονικῆς σπουδαιότητος καὶ ἀξίας τοῦ κατὰ Κέλσου συγγράμματος λέγει ὁ σοφὸς Freppel τάδε: « Si le *Traité contre Celse* est inférieur à *l' Apologétique* de Tertulien comme oeuvre d' art et d' éloquence, on ne fait que lui rendre justice en l' appelant la plus savante défense du Christianisme dans les trois premiers siécles. Sans négliger

τὰ περὶ εὐχῆς καὶ εἰς μαρτύριον προτρεπτικὸς λόγος [1]. Τὸ πρῶτον πραγματεύεται περὶ τῆς Κυριακῆς προσευχῆς. Μετὰ τὸ προοίμιον λύεται τὸ ζήτημα τὸ καὶ νῦν οὕτω συνεχῶς ἐπαναλαμβανόμενον: εἰ ὁ Θεὸς γιγνώσκει τὰ πάντα—καὶ τὸ μέλλον, ἀναγκαῖαι ἆράγε αἱ προσευχαί; Ὁ Θεός, λέγει ὁ Ὠριγέ-

---

entièrement . . . . . Origène s'est pourtant placè de préfèrence sur le terrain des idées et des doctrines. C'est par là que cet antique monument de la littérature chrétienne conserve toujours un air de jeunesse et de nouveauté. Toute la partie de l'apologétique primitive concernant la procédure suivie à l'égard des chrétiens, a vieilli; ou du moins elle n' inspire plus que l' intérêt qui s' attache à une grande cause vaillamment défendue. La révolution opérée dans le droit public par le triomphe de l' Évangile a éloignè pour toujours, nous aimons à le croire, toute situation analogue. Mais ce qui n' a pas vieilli, ce qui est toujours vivant et actuel, c' est la controverse de la religion rèvèlée avec le rationalisme, quelque nom qu' il prenne et sous quelque forme qu' il se présente. Les questions qui se remuent encore aujourd' hui dans cet ordre de choses, sont celles-là mêmes qu' Origène avait traitées avec une si grande supériorité d'esprit. En le voyant défendre le caractère historique du Christianisme, la valeur démons trative des faits surnaturels, nous avons pu nous croire un instant transportés au milieu de nos discussions contemporaines. Voila ce qui assure à son oeuvre un rang à part, un mérite hors ligne . . . » (Origène, tom. II. p. 424—25). Σ. Μ.

[1] Ἐν τούτοις κατατακτέαι αἱ ἐπιστολαὶ πρὸς Ἀμβρόσιον, πρὸς τοὺς ἐν Ἀλεξανδρείᾳ φίλους αὐτοῦ, καὶ ἡ πρὸς Γρηγόριον τὸν Θαυματουργόν, ἐν ᾗ προτρέπει αὐτὸν μελετᾶν τὰς ἀληθείας τῆς πίστεως μᾶλλον, ἢ τὴν φιλοσοφίαν. [Αἱ ἐπιστολαὶ αὐτοῦ πρὸς τὸν Ῥώμης ἐπίσκοπον Φαβιανόν, ἐν ᾗ ἀπελογεῖτο περὶ τῆς ὀρθοδοξίας αὐτοῦ (Εὐσέβ. ς'. 36. ), πρὸς τὸν Βήρυλλον (Hieron, de vir. illustr. c. 60), πρὸς τὸν Αὐτοκράτορα Φίλιππον καὶ τὴν σύζυγον αὐτοῦ Σεβῆραν (Εὐσέβ. αὐτόθ.), πρὸς τὸν μαθητὴν αὐτοῦ Τρύφωνα (Ἱερών. αὐτόθ. 57.), καὶ τέλος πολλαὶ ἄλλαι περιγράφουσαι τὰ κατὰ τὸν ἐπὶ Δεκίου διωγμὸν (Εὐσέβ. αὐτόθ. 39.), ἀπώλοντο τέλεον. Σ. Μ.].

νης, ἀπ᾽ αἰῶνος γιγνώσκει τὸν ἄνθρωπον μόνον ὡς ἐλεύθερον· γιγνώσκει προσέτι πῶς χρήσεται τῇ ἰδίᾳ ἐλευθερίᾳ, καὶ πότε ἐσόμεθα ἀμελοῦντες τῆς προσευχῆς. Ἡ προσευχὴ τοίνυν ἡμῶν οὐκ εἰσάγει μεταβολὴν εἰς τὴν Οὐσίαν τοῦ Θεοῦ, ἀλλὰ συνίστησι τὴν γνωστὴν ἐν ἡμῖν κατάστασιν τὴν προσεγγίζουσαν ἡμᾶς τῷ Θεῷ [*]. Περαιτέρω δείκνυνται αἱ ἄλλαι ἐνέργειαι τῆς προσευχῆς, καὶ κατ᾽ ἐξοχὴν ἡ σχέσις τῶν ἀγγέλων καὶ τῶν ἁγίων μετὰ τοῦ κόσμου

---

[*] Ἐν τῷ συγγράμματι τούτῳ ἀπαντῶσιν ἅπασαι αἱ ἐνστάσεις αἱ προβαλλόμεναι ὑπὸ τῶν κατὰ καιροὺς ὀρθολογιστῶν κατὰ τῆς προσευχῆς. Ἡ ἀπόκρισις τοῦ Ὠριγένους ἐστὶ σαφὴς καὶ ἔλλογος. Δείξας, ὅτι ὁ ἄνθρωπος διαφέρει τῶν ἄλλων ἐπιγείων δημιουργημάτων κατά τε τὸ λογικὸν καὶ τὴν ἐλευθερίαν, ἐκτίθησιν ἄριστα πῶς ἡ ἐνέργεια τῆς προσευχῆς συναρμόζει τῇ ἀτρεψίᾳ τοῦ Θεοῦ. «Εἰ δή, λέγει, τὸ ἐφ᾽ ἡμῖν σώζεται μυρίας ὅσας ἀπονεύσεις ἔχον πρὸς ἀρετὴν ἢ κακίαν, καὶ πάλιν ἢ πρὸς τὸ καθῆκον ἢ πρὸς τὸ παρὰ τὸ καθῆκον· ἀναγκαίως τοῦτο μετὰ τῶν λοιπῶν πρὶν γένηται τῷ Θεῷ ἔγνωσται ἀπὸ κτίσεως καὶ καταβολῆς κόσμου, ὁποῖον ἔσται· καὶ ἐν πᾶσιν οἷς προδιατάσσεται ὁ Θεὸς ἀκολούθως ὡς ἑώρακε περὶ ἑκάστου ἔργου τῶν ἐφ᾽ ἡμῖν προδιατέτακται κατ᾽ ἀξίαν ἑκάστῳ κινήματι τῶν ἐφ᾽ ἡμῖν τὸ καὶ ἀπὸ τῆς Προνοίας αὐτῷ ἀπαντησόμενον, ἔτι δὲ καὶ κατὰ τὸν εἱρμὸν τῶν ἐσομένων συμβησόμενον· οὐχὶ τῆς προγνώσεως τοῦ Θεοῦ αἰτίας γινομένης τοῖς ἐσομένοις πᾶσι, καὶ ἐκ τοῦ ἐφ᾽ ἡμῖν κατὰ τὴν ὁρμὴν ἡμῶν ἐνεργηθησομένοις. Εἰ γὰρ καὶ καθ᾽ ὑπόθεσιν μὴ γινώσκοι ὁ Θεὸς τὰ ἐσόμενα, οὐ παρὰ τοῦτο ἀπειλοῦμεν τὸ τάδε τινὰ ἐνεργήσειν καὶ τάδε θελήσειν· πλέον δὲ ἀπὸ τῆς προγνώσεως γίνεται τὸ κατάταξιν λαμβάνειν εἰς τὴν τοῦ παντὸς διοίκησιν χρειώδη τῇ τοῦ κόσμου καταστάσει τὸ ἑκάστου ἐφ᾽ ἡμῖν. Εἰ τοίνυν τὸ ἑκάστου ἐφ᾽ ἡμῖν αὐτῷ ἔγνωσται, καὶ διὰ τοῦτο προεωραμένον αὐτῷ, διατάττεται ἀπὸ τῆς Προνοίας τὸ κατ᾽ ἀξίαν παντὶ τὸ εὔλογον· καὶ τὸ τί εὔξηται· ποίαν διάθεσιν ἔχων ὁ δεῖνα οὕτω πιστεύων· καὶ τί βουλόμενος αὐτῷ γενέσθαι, προκατείληπται· οὗ προκαταληφθέντος, καὶ τοιοῦτόν τι ἀκολούθως ἐν τῇ διατάξει τετάξεται, ὅτι τοῦδε μὲν ἐπακούσομαι συνετῶς εὐξομένου, δι᾽ αὐτὴν τὴν εὐχήν, ἣν εὔξεται· τοῦδε δὲ οὐκ ἐπακούσομαι, ἤτοι διὰ τὸ ἀνάξιον ἔσεσθαι τοῦ ἐπακουσθήσεσθαι, ἢ διὰ τὸ ταῦτα αὐτὸν εὔξεσθαι, ἃ μή τε τῷ εὐχομένῳ λυσιτελεῖ λαβεῖν, μήτε ἐμοὶ πρέπον παρασχεῖν· καὶ κατὰ τήνδε μὲν τὴν εὐχήν, φέρε εἰπεῖν, τοῦ δεῖνος, οὐκ ἐπακούσομαι

τούτου [α]. Τὴν κυριακὴν προσευχὴν ἑρμηνεύει κατὰ γράμμα καὶ πάνυ πιστῶς. Τέλος ποιεῖται λόγον περὶ τῆς στάσεως τοῦ σώματος ἐν τῷ καιρῷ τῆς προσευχῆς, περὶ τοῦ τόπου, ἔνθα δέον τελεῖσθαι

---

αὐτοῦ· κατὰ τοῦδε δέ, ἐπακούσομαι. Ἐὰν δέ τις ταράττηται διὰ τὸ μὴ οὐ ψεύσασθαι τὸν Θεὸν τὰ μέλλοντα προεγνωκότα, ὡς τῶν πραγμάτων κατηναγκασμένων· λεκτέον πρὸς τὸν τοιοῦτον, ὅτι αὐτὸ τοῦτο τῷ Θεῷ ἔγνωσται ἀραρότως τὸ μὴ ἀραρότως τόνδε τινὰ τὸν ἄνθρωπον καὶ βεβαίως βούλεσθαι τὰ κρείττονα, ἢ οὕτω θελήσειν τὰ χείρονα, ὥστε ἀνεπίδεκτον αὐτὸν ἔσεσθαι μεταβολῆς τῆς ἐπὶ τὰ συμφέροντα . . . . . . » Σ. Μ.

[α] «Ὅτε, λέγει, προσευχόμεθα μετὰ καθαρᾶς καρδίας, μετὰ ψυχῆς ἀπηλλαγμένης τῶν ἐπιγείων μεριμνῶν καὶ ἐλευθέρας παντὸς αἰσθήματος μίσους καὶ ἐκδικήσεως, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς συνεύχεται ἡμῖν, διότι ἐστὶν ἡμέτερος μεσίτης, ἀρχιερεὺς τῶν προσφορῶν ἡμῶν καὶ πρὸς τὸν Πατέρα παράκλητος. Οὐχὶ δὲ μόνον ὁ Υἱὸς τοῦ Θεοῦ εὔχεται ὑπὲρ τῶν εὐχομένων καὶ συμπαρακαλεῖ τοῖς παρακαλοῦσιν, ἀλλὰ καὶ οἱ ἐν οὐρανῷ χαίροντες ἄγγελοι ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐνενήκοντα ἐννέα δικαίοις, οἳ οὐ χρείαν ἔχουσι μετανοίας, καὶ *αἱ τῶν προκεκοιμημένων ἁγίων ψυχαί*». Ἡ περὶ τῆς κοινωνίας τοίνυν τῶν ἁγίων διδασκαλία οὐκ ἔστι νεωτερισμὸς ἐν τῇ Ἐκκλησίᾳ, ὡς οἱ Διαμαρτυρόμενοι διϊσχυρίζονται. Ἀναφέρων ὁ ἀρχαῖος καὶ σοφώτατος διδάσκαλος τὰ χωρία τῆς ἁγίας Γραφῆς, τὰ δεικνῦντα ἡμῖν τὸν Ἀρχάγγελον Ραφαὴλ προσφέροντα τῷ Κυρίῳ τὰς προσευχὰς τοῦ Τωβὴτ καὶ τῆς Σάρρας, τὸν Ἱερεμίαν προσευχόμενον ὑπὲρ τοῦ λαοῦ καὶ τῆς ἁγίας πόλεως, λέγει: «Καὶ γὰρ ἄτοπον, τῆς γνώσεως δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι ἐπὶ τοῦ παρόντος τοῖς ἀξίοις φανερουμένης, τότε δὲ πρόσωπον πρὸς πρόσωπον ἀποκαλυπτομένης, μὴ τὸ ἀνάλογον καὶ ἐπὶ τῶν λοιπῶν ἀρετῶν νοεῖν, τότε κυρίως τῶν προπαρασκευασαμένων ἐν τῷ βίῳ τούτῳ τελειουμένων. Μία δὲ κυριωτάτων ἀρετῶν κατὰ τὸν θεῖον λόγον ἐστὶν ἡ πρὸς τὸν πλησίον ἀγάπη, ἣν πολλῷ μᾶλλον προσεῖναι τοῖς προκεκοιμημένοις ἁγίοις πρὸς τοὺς ἐν βίῳ ἀγωνιζομένους, ἀναγκαῖον νοεῖν, παρὰ τοὺς ἐν τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ τυγχάνοντας, καὶ συναγωνιζομένους τοῖς ὑποδεεστέροις· οὐ μόνον ἐνταῦθα τοῦ, «*Εἰ πάσχει μέλος ἕν, συμπάσχει πάντα τὰ μέλη, καὶ εἰ δοξάζεται μέλος ἕν, συγχαίρει πάντα τὰ μέλη*», τοῖς φιλαδέλφοις ἐγγινομένου· πρέπον γάρ ἐστι καὶ τῇ τῶν ἔξω τῆς παρούσης ζωῆς ἀγάπῃ λέγειν. «*Ἡ μέριμνα πασῶν τῶν Ἐκκλησιῶν· τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι;*» (κεφ. ιά.)

καὶ περὶ τοῦ τύπου, ὃν δέον διδόναι αὐτῇ· παραινεῖ ἔπειτα ἄρχεσθαι αὐτῆς καὶ περαίνειν διὰ τῆς εἰς τὴν παναγίαν Τριάδα δοξολογίας.

Ὁ εἰς μαρτύριον προτρεπτικὸς λόγος, ὁ τῷ φίλῳ Ἀμβροσίῳ καὶ τῷ πρεσβυτέρῳ Πρωτοκτήτῳ ἀνατεθείς, ἐγράφη μετά ζωηροῦ αἰσθήματος εὐσεβείας.

Τοῖς ἀρχαίοις ἦσαν γνωστὰ δογματικά τινα συγγράμματα τοῦ Ὠριγένους ([1]), ἀλλὰ μέχρις ἡμῶν ἀφίκετο μόνον τὸ περὶ Ἀρχῶν —ἐν τέσσαρσι βιβλίοις—καρπὸς ἀώρου ἡλικίας([2]). Ἐν τῇ εἰσαγωγῇ γράφει: «ἀληθές ἐστι μόνον τὸ σύμφωνον τῇ διδασκαλίᾳ τῶν Ἀποστόλων, τῇ μέχρι τοῦ νῦν τηρουμένῃ ἐν τῇ Ἐκκλησίᾳ. Οἱ Ἀπόστολοι παρέδωκαν σαφῶς ἐκεῖνο, ὅπερ ἐστὶν ἀναγκαῖον εἰδέναι ἐν τῇ χριστιανικῇ πίστει, καὶ κυρίως δι' ἐκείνους, οἱ οὐκ ἐκλήθησαν πρὸς ἔρευναν. Τὸ δὲ ἀποκαλύπτειν τὰς βάσεις τῶν δογμάτων παρέδωκαν τοῖς πρὸς τοῦτο δεξαμένοις τὰς δωρεὰς τοῦ ἁγίου Πνεύματος» ([3]). Συνῳδὰ τοῖς λόγοις τούτοις, τὸ περὶ Ἀρχῶν σύγγραμμα οὔτε κατὰ τὸ εἶδος, οὔτε κατὰ τὴν ὑπόθεσίν ἐστι δι' ἕκαστον· ἐστι δοκίμιον ἐπιστημονικῆς ἐκθέσεως τῶν δογμάτων τῆς πίστεως καὶ ἐν ἐπιστημονικῇ μεθόδῳ. Ὡς πρῶτον δοκίμιον κατὰ τὸ εἶδος αὐτοῦ δείκνυσιν ἐν τῷ συγγραφεῖ ἄνδρα ἐξόχων χαρισμάτων. Ἀλλ' ὡς ἔργον ἀώρου ἡλικίας εὐκόλως ἠδύνατο ἔχειν καὶ σφάλματα. Ἅπασα ἡ ἔκθεσις τῆς πίστεως διευθύνεται κατὰ τῶν Οὐαλεντινιανῶν, Μαρκιωνιτῶν, καὶ ἄλλων Γνωστικῶν. Ἐντεῦθεν δὲ ἡ συμφωνία τῶν ἀρχῶν τῆς πίστεως πρὸς τὰς ἀρχὰς τοῦ λογικοῦ φυσικῶς ἠδύνα-

---

Ἀδύνατον ἦν ἂν ὁρίσαι κάλλιον τὸ δόγμα τῆς κοινωνίας τῶν ἁγίων καὶ μετὰ μείζονος δυνάμεως περιγράψαι τὰς μεταξὺ τῆς στρατευομένης καὶ τῆς θριαμβευούσης Ἐκκλησίας σχέσεις. Σ. Μ.

([1]) Οἱ *Στρωματεῖς*, ἐν οἷς παρέβαλλε τὴν χριστιανικὴν διδασκαλίαν πρὸς τὴν τῶν φιλοσόφων (Hieron. ep.84.ad Magn.), τὸ *περὶ ἀναστάσεως* σύγγραμμα, ὅπερ ἔδωκεν ἀφορμὴν τῷ Μεθοδίῳ γράψαι κατὰ τοῦ Ὠριγένους ἀντίρρησιν (Εὐσ. ς'. 24 Hieron. ep. 29. ad Paulam), καὶ τὸ *περὶ αὐτεξουσίου* κ.τ.λ.

([2]) Ἴδ. σημ. 18. συνεγράφη τεσσαράκοντα ἔτη πρὸ τοῦ θανάτου τοῦ συγγραφέως αὐτοῦ.

([3]) Praefat. in libr. de Princip. §. 3.

το γενέσθαι ὑπὸ τὴν ἐπιρροὴν τῆς τότε φιλοσοφίας. Τέλος ἰδιάζων χαρακτὴρ τοῦ συγγράμματος τούτου ἐστὶν ἡ ταπεινοφροσύνη ἡ μὴ ἐπιτρέπουσα τῷ συγγραφεῖ ἐκθεῖναι τὰς ἑαυτοῦ ἰδέας ἄλλως, ἢ μόνον ἐν εἴδει δοξασιῶν.

Ὑπόθεσις τοῦ συγγράμματος. Ἐν τῷ πρώτῳ βιβλίῳ ὁ Ὠριγένης πραγματεύεται περὶ Θεοῦ καὶ τῶν ἰδιοτήτων Αὐτοῦ, περὶ τοῦ μυστηρίου τῆς ἁγίας Τριάδος, περὶ τῶν λογικῶν καὶ ἐλευθέρων ὄντων καὶ τῆς πτώσεως αὐτῶν. Ἀναπτύσσει τὸ σύστημα αὐτοῦ περὶ τῆς προηγηθείσης τοῦ κόσμου τούτου δημιουργίας, περὶ πάντων τῶν πνευματικῶν ὄντων, περὶ τῆς πτώσεως, καὶ τῆς καταστάσεως, ἐν ᾗ εὑρίσκονται. Ἐν τῷ δευτέρῳ βιβλίῳ ποιεῖται λόγον περὶ τοῦ κέντρου ἁπάντων τῶν δημιουργημάτων καὶ τῆς ποικιλίας αὐτῶν. Τὸ τελευταῖον λαμβάνει χώραν διὰ τῆς ἐνσωματώσεως, ὥσπερ ταύτῃ προϋποτίθεται ἡ ὕπαρξις τῆς ὕλης καὶ τοῦ Δημιουργοῦ αὐτῆς. Ἐντεῦθεν ἡ πληθὺς τῶν κόσμων. Ὑπερασπίζει κατὰ τῶν ἐνστάσεων τῶν Γνωστικῶν τὴν ἀπόλυτον ἑνότητα τοῦ Θεοῦ, ὅς ἐστιν ὁ αὐτὸς ἔν τε τῇ Παλαιᾷ καὶ τῇ Καινῇ Διαθήκῃ, καὶ ὅς ἐστι σύναμα ἀγαθὸς καὶ δίκαιος, μηδεμιᾶς ἀντιφάσεως ἐν ταῖς ἰδιότησι ταύταις οὔσης· δείκνυσι τὸν τρόπον τῆς ἐνανθρωπήσεως τοῦ Λόγου, καὶ ποιεῖται ἐν ἐκτάσει λόγον περὶ ψυχῆς. Ἐν τῷ τρίτῳ βιβλίῳ πραγματεύεται περὶ τῶν ἐσωτερικῶν καὶ ἐξωτερικῶν συνθηκῶν τῆς ἠθικῆς μορφώσεως καὶ τελειοποιήσεως τοῦ ἀνθρώπου, περὶ τοῦ αὐτεξουσίου κατὰ τῶν Γνωστικῶν, περὶ τῶν ἐναντίων δυνάμεων, περὶ τῆς τριπλῆς σοφίας, περὶ τῶν ἀνθρωπίνων πειρασμῶν, τέλος περὶ τοῦ κόσμου, ὅτι ἐν χρόνῳ ἤρξατο καὶ ἐν χρόνῳ συντελεσθήσεται. Ἐν τῷ τετάρτῳ βιβλίῳ διδάσκει, ὅτι ἡ ἁγία Γραφή ἐστι Θεόπνευστος· τίνι τρόπῳ ἀναγνωστέον καὶ ἐννοητέον αὐτήν. Ἐν δὲ τῷ ἐπιλόγῳ ἐπαναλαμβάνει διὰ βραχέων τὴν περὶ τῆς ἁγίας Τριάδος διδασκαλίαν [*].

[*] Ἄρισται ἐκδόσεις εἰσιν: Origenis lib. de Principis, gr. lat. cum. annotat. cod. *Redepenning* Lipsiæ 1836. *Schnitzer*: Origenis üb. Grundlehren d. Glaubenswissenschaft, Wiederherstellung Versuch. Stutgardt, 1835. Βοήθημα *Thomasius* Origenes E.

Τὸ σύγγραμμα τοῦτο ἐκρίθη αὐστηρῶς—καὶ δι᾽ αὐτὸ αὐστηρῶς ἔκριναν καὶ τὸν συγγραφέα[α]. Ὅτι ἔργον ἀώρου ἡλικίας, ἐφάνη μετὰ σφαλμάτων οὐκ ἀσημάντων, οὐ θαυμαστόν. Τὸ σπουδαιότερόν ἐστιν, ὅτι τὰ σφάλματα αὐτοῦ ἀπαντῶσι καὶ ἐν ἄλλοις συγγράμμασιν. Ἀλλ᾽ ὅπως τις κρίνῃ ὀρθῶς περὶ τοῦ Ὠριγένους, ἀνάγκη ἰδεῖν καὶ ἐξετάσαι αὐτόν, δηλ. δέον οὐ μόνον ἐκθεῖναι τὰς δοξασίας αὐτοῦ, ἀλλὰ καὶ δεῖξαι, ἐν ποίᾳ μορφῇ ταύτας προβάλλεται.

---

Beitrag. z. Dogmeng. 3. Jhar. Nürnb, 1837. *Redepening* Origenes E. Darstellung seines Lebens u. seiner Lehre Bonn. 1841.

[α] «Εἰς ἡμᾶς, λέγει ὁ σοφὸς καὶ πολυσέβαστος Κ. Κοντογόνης, ἀποβαίνει δύσκολον, ἢ μᾶλλον ἀδύνατον νὰ ἐπιφέρωμεν πλήρη περὶ τούτου τοῦ συγγράμματος κρίσιν, ἐπειδὴ δὲν ἔχομεν αὐτὸ πλέον οὔτε ἐν πρωτοτύπῳ, οὔτε κατὰ τὴν μετάφρασιν τοῦ Ἱερωνύμου, ἀλλὰ κατὰ τὴν τοῦ Ρουφίνου ὅστις ἀφ᾽ ἑαυτοῦ ὁμολογεῖ, ὅτι πολλὰ μὲν μετέβαλε, πολλὰ δὲ σκανδαλώδη παρέλιπε, τὰ ὁποῖα ἐνόμισε παραποιηθέντα ὑπὸ τῶν Γνωστικῶν, καὶ ἄλλα πάλιν κατὰ τὸ ἀλλαχοῦ ὑπὸ τοῦ Ὠριγένους δηλωθὲν φρόνημα διώρθωσε καὶ προσήρμοσεν, ὡς δεικνύουσιν ἀποχρώντως τὰ ὀλίγα ἑλληνιστὶ διασωθέντα τεμάχια· ὥστ᾽ ἐν γένει δὲν δυνάμεθα πλέον μετ᾽ ἀκριβείας νὰ διακρίνωμεν, ποῖα πρέπει ν᾽ ἀποδοθῶσιν εἰς τὸν Ὠριγένη, καὶ ποῖα οὐχί. Τοῦτο δὲ μόνον εἶναι βέβαιον, ὅτι περιεῖχε πολλὰς κακοδοξίας, διότι καὶ μετὰ τὰς πολλὰς γενομένας διορθώσεις πάλιν ἔμειναν εἰσέτι ἱκαναί». (Φιλολογ. καὶ κριτ. ἱστορ. τῶν ἁγ. Πατ. Τ. Α. σελ. 426.) Εἷς τῶν ἐμπαθεστέρων ἐχθρῶν τοῦ Ὠριγένους ἐγένετο Ἰσίδωρος ὁ Ἰσπάλεως, ὃς (Orig. lib. VIII. c. 5.) καταλέγων τὰς παρὰ τοῖς χριστιανοῖς αἱρέσεις, μνημονεύει τῶν Ὠριγενιστῶν, καὶ τὰς μεμπτὰς αὐτῶν δοξασίας ἐκτίθησιν. Ἐξ αὐτοῦ ἀναφέρει ὁ Καρμηλίτης Guido τὸ ἑπόμενον ἐπίγραμμα, ἐν ᾧ ὁ Ὠριγένης εἰσάγεται λέγων:

» Ille ego Origenes doctor verissimus olim

» Quem primum fidei gratia clara dedit.

» Si mihi credere vis, libros tot millia scripsi,

» Quot legio missos mittit in arma viros.

» Nulla meos unquam tetigit blasphemia sensus,

» Sed probus, atque vigil, tutus ab hos te fui.

» Sola mihi casum περὶ Ἀρχῶν dicta dederunt.

» His me conjectum undique tela premunt». Σ. Μ.

Αὐθαίρετοι δοξασίαι τοῦ Ὠριγένους ἦσαν αἱ ἑπόμεναι: ά.] « Ἡμῖν, λέγει, δοκεῖ καὶ πρὸ τούτου τοῦ κόσμου ἄλλον γενέσθαι, καὶ μετὰ τοῦτον ἄλλον γενήσεσθαι» διότι τὸ Θεῖον οὐδέποτε ἀπρακτεῖ[1]. 6΄.] Ταύτη τῇ δοξασίᾳ εἵπετο ἑτέρα, ὅτι δηλαδὴ τὰ πνεύματα καὶ αἱ ψυχαὶ τῶν ἀνθρώπων προϋπῆρχον τούτου τοῦ κόσμου, καὶ ἕνεκα τῆς περιωρισμένης ἐλευθερίας ἔπεσον, ἔπεσον δὲ εἰς τὴν κατωτάτην βαθμίδα τῆς Δημιουργίας καὶ περιεβλήθησαν ἑτερογενῆ σώματα [2]. Ἐνταῦθα προσέθηκεν, ὅτι τοῦτο οὐκ ἔστι δόγμα, ἀλλὰ μόνον γνώμη[3]. γ΄.] Νομίζω, λέγει προσέτι, ὅτι αἱ λέξεις: ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι, δηλοῦσιν, ὅτι αὐτός ἐστι ἐν ἑκάστῳ τὸ πᾶν . . . . . ὁ Ἐχθρὸς ἀφανισθήσεται—τοῦτο ἐννοητέον, ὅτι οὐχ ἡ οὐσία αὐτοῦ, ἡ ὑπὸ τοῦ Θεοῦ δημιουργηθεῖσα, καταστραφήσεται, ἀλλ' ἡ κακὴ αὐτοῦ προαίρεσις, ἡ παρ' αὐτοῦ τοῦ ἐχθροῦ προελθοῦσα. Καὶ δὴ ἀφανισθήσεται οὐχ οὕτως, ὥστε μὴ εἶναι, ἀλλ' οὕτως, ὥστε μὴ εἶναι ἐχθρός[4]. Καὶ προστίθησι: τοῦτο λέγομεν μετὰ μεγάλης φρίκης καὶ δέους καὶ μᾶλλον ἐν εἴδει ἐρεύνης, ἢ ἡγούμενοι τοῦτο βέβαιον καὶ ὡρισμένον[5]. Ὁ Ὠριγένης ἐποιήσατο τὰς ὑποθέσεις ταύτας ἔκ τινος αἰτίας, ἢ αὐτὸς καθ' ἑαυτὸν ἀφίκετο εἰς αὐτάς; Ὑπῆρξαν περιστάσεις ἀναγκάσασαι αὐτὸν εἰς τοῦτο. Ἐπὶ τῆς ἐποχῆς τοῦ Ὠριγένους τὸ περὶ ἀρχῆς τοῦ κακοῦ καὶ τὸ περὶ τῆς συνδιαλλαγῆς τῆς Ἀγαθότητος τοῦ Θεοῦ μετὰ τῆς Δικαιοσύνης ἦν ζήτημα κοινότατον. Πολλοὶ ἔλυσαν τοῦτο παραδεχόμενοι δύο ἀρχάς. Ὁ δὲ Ὠριγένης, παραδεχόμενος τὰς τρεῖς μνημονευθείσας ὑποθέσεις, παρίστη μὲν λαμπρῶς τὴν Ἁγιότητα καὶ Ἀγαθότητα τοῦ Θεοῦ· ἀλλὰ σύναμα κατέλειπε τὴν Θείαν Δικαιοσύνην μόνον μετὰ τῆς σημασίας τῆς ἐπανορθωτικῆς δικαιοσύνης, καὶ ἐκτὸς τούτου ματαίως ὑπετίθει, ὅτι δῆθεν οὐ δύναται εἶναι ἐσωτερικὴ ἐνέργεια ἐν τῇ Θεότητι.

Ἐπειδὴ δ' ὁ Ὠριγένης ἔθηκεν εἰς ἑαυτὸν ὡς κανόνα τὸ ἑξῆς: «Εἰς

---

[1] Περὶ Ἀρχ. βιβλ. Γ΄. 3. σελ. 149. Μεθόδ. παρὰ Φωτ. ἀναγν. 235.

[2] Περὶ Ἀρχ. Γ. 7. 8. Εἰς Ἰωάν. Τ. 1. 2. 8. Ἐν τῷ τελευταίῳ χωρίῳ λέγει περὶ τοῦ Διαβόλου: « *ἐνδεθῆναι ὕλῃ καὶ σώματι* ». ἐν δὲ τῷ κατὰ Κέλσου (Δ, 92) γράφει, ὅτι «*τυγχάνουσι γυμνοὶ τῶν γηΐνων σωμάτων*».

[3] Περὶ Ἀρχ. Β, 8. . 4. σελ. 96.

[4] Περὶ Ἀρχ. Ά. 5. 6.

[5] Αὐτόθ. Α, 6. πρβλ, Praefat. §. 6. p. 48.

ἐκείνην μόνον τὴν ἀλήθειαν δεῖ πιστεύειν, ἣ οὐδ᾽ ὅπως τιοῦν διαφέρει τῆς τε ἐκκλησιαστικῆς καὶ ἀποστολικῆς παραδόσεως»([1]), διὰ τοῦτο ὡς πρὸς τὸ τρίτον μέρος τῶν δοξασιῶν αὐτοῦ ἐδίδασκεν ὡρισμένως, ὅτι τοὺς μὴ μετανοήσαντας ἁμαρτωλοὺς περιμένει αἰώνιον πῦρ ([2]). Ὡσαύτως ὡς πρὸς τὸ δεύτερον μέρος ἀντὶ τῆς προσωπικῆς πτώσεως τῶν ψυχῶν μέχρι τῆς εἰς τὸ σῶμα εἰσόδου, ἰδίως μετὰ ταῦτα, μετὰ πάσης τῆς σταθερότητος ἐπανελάμβανε τὴν διδασκαλίαν τῆς Γραφῆς περὶ τῆς διαφθορᾶς τῆς φύσεως ἐν τῷ Ἀδάμ, μεταβαινούσης εἰς τοὺς ἀπογόνους διὰ τῆς γεννήσεως [*].

δ΄.] Διὰ σαφῶν λόγων ὡμολόγει ὁ Ὠριγένης, ὅτι ὡς ὁ Υἱός ἐστι Θεὸς οὕτω καὶ τὸ ἅγιον Πνεῦμά ἐστι Θεός([3]), ὅτι ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα οὐκ ἐποιήθησαν([4]). Ἀλλ᾽ ὅτε ὥριζε τὴν σχέσιν τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου

---

([1]) Praef. princ. §. 2.

([2]) Εἰς Ἱερεμ. ὁμιλ. ιή. I. Τόμ. 3, σελ. 241. εἰς Ματθ. §. 72. Τ. 3. σελ. 889. εἰς Ἰεζεκ. ὁμ. Ι΄. 4. Τ. 3. σελ. 394. εἰς Ἔξοδ. ὁμιλ. ς΄. 4. Τ. 2. σελ. 148.

[*] Κατὰ Κέλσ. ζ΄. 50. Ὑπόμν. εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων βιβλ. γ΄. Τόμ. 3. σελ. 83. εἰς τὴν πρὸς Ρωμ. ἐπιστ. βιβλ. έ. §. 9. 1—5. σελ. 550—557.

([3]) Περὶ Ἀρχ. βιβλ. Ά. κεφ. γ΄. §. 7. σελ. 63. ἐπ᾽ ἴσης σελ. 61, 62, 64. Τ. 12. §. 20. εἰς Ματθ. εἰς Ἡσαΐαν Τόμ. Ι΄. σελ. 350. εἰς Ἱερεμ. ὁμιλ. ιή. §. 9. εἰς Ἀριθμ. ὁμιλ. ιά. §. 8. σελ. 310. εἰς Ἰωάν. Τόμ. 2. §. 6. Ἐν τῷ τελευταίῳ ἐλέγχει ἐκείνους, οἳ παραδεχόμενοι, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἐστι Θεός, οὐ παρεδέχοντο τὴν προσωπικὴν Αὐτοῦ ὕπαρξιν, καὶ ἐκείνους, οἵ, παραδεχόμενοι προσωπικὴν ὕπαρξιν, ἀπέρριπτον τὴν Θεότητα τοῦ Υἱοῦ.

([4]) «Ex quo ostenditur semper fuisse vaporem istum virtutis Dei nullum habentem initium nisi ipsum Deum. Neque dicebat aliud esse initium, nisi ipsum unde et est, et nascitur, Deum» (περὶ Ἀρχ. Ά. β΄. 9. σελ. 57). «Λεκτέον δὲ καὶ πρὸς τοῦτο, ὅτι εἴπερ ἐνενοήκει ὁ Κέλσος τὸ: *ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*, καὶ τὸ ἐν εὐχῇ εἰρημένον ὑπὸ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐν τῷ: *ὡς ἐγὼ καὶ σὺ ἕν ἐσμεν*, οὐκ ἂν ᾤετο ἡμᾶς καὶ ἄλλον θεραπεύειν παρὰ τὸν ἐπὶ πᾶσι Θεόν. Ὁ *γὰρ Πατήρ*, φησίν, *ἐν ἐμοί, κἀγὼ ἐν τῷ Πατρί* . . . . Ἕνα οὖν Θεόν, ὡς ἀποδεδώκαμεν, τὸν Πατέρα καὶ τὸν Υἱὸν θεραπεύομεν· καὶ μένει ἡμῖν ὁ πρὸς τοὺς ἄλλους ἀτενὴς λόγος· καὶ οὐ τὸν ἔναγχός γε φανέντα, ὡς πρότερον οὐκ ὄντα,

Πνεύματος πρὸς τὸν Θεὸν Πατέρα, τότε εἰ καὶ ὡς ἐπὶ τὸ πλεῖστον μετεχειρίζετο γραφικὰς ἐκφράσεις, δηλ. ὅτι ὁ Υἱὸς γεννᾶται, τὸ δὲ ἅγιον Πνεῦμα ἐκπορεύεται ἐκ τοῦ Πατρός (¹), ἐν τοσούτῳ

ὑπερθρησκεύομεν . . . . Θρησκεύομεν οὖν τὸν Πατέρα τῆς ἀληθείας, καὶ τὸν Υἱὸν τὴν ἀλήθειαν, ὄντα δύο τῇ ὑποστάσει πράγματα, ἓν δὲ τῇ ὁμονοίᾳ καὶ τῇ συμφωνίᾳ, καὶ τῇ ταυτότητι τοῦ βουλήματος· ὡς τὸν ἑωρακότα τὸν Υἱὸν ὄντα *ἀπαύγασμα τῆς δόξης καὶ χαρακτῆρα τῆς ὑποστάσεως* τοῦ Θεοῦ, ἑωρακέναι ἐν αὐτῷ, ὄντι εἰκόνι τοῦ Θεοῦ, τὸν Θεόν». κατὰ Κέλσ. βιβλ. ή. §. 12. ἴδ. καὶ βιβλ. Α. 34, 60, 66, 68. Β΄. 9, 10. Γ΄. 9, 41. Περὶ Ἀρχ. Α. γ΄. 3. —«Οὐ γὰρ ὁ Θεὸς Πατὴρ εἶναι ἤρξατο, κωλυόμενος, ὡς οἱ γινόμενοι Πατέρες ἄνθρωποι, ὑπὸ τοῦ μὴ δύνασθαί πω πατέρες εἶναι. Εἰ γὰρ ἀεὶ τέλειος ὁ Θεός, καὶ πάρεστιν Αὐτῷ δύναμις τοῦ Πατέρα Αὐτὸν εἶναι, καὶ καλὸν αὐτὸν εἶναι Πατέρα τοῦ τοιούτου Υἱοῦ, τί ἀναβάλλεται καὶ ἑαυτὸν τοῦ καλοῦ στερίσκει, καὶ ὡς ἔστιν εἰπεῖν, ἐξ οὗ δύναται Πατὴρ εἶναι Υἱοῦ; τὸ αὐτὸ μέν τοι γε καὶ περὶ τοῦ ἁγ. Πνεύματος λεκτέον» παρὰ Πάμφ. ὑπὲρ Ὠριγ. Ἀπολογ. κεφ. γ΄. ἐκ τοῦ Α. βιβλ. εἰς τὴν Γένεσιν).

(¹) Περὶ Ἀρχ. Α. β΄. 6. Α. γ΄. 5. εἰς Ἰωάννην Τ. Α. §. 32. «Ἀλλὰ διὰ τούτων πάντων οὐ σαφῶς ἡ εὐγένεια παρίσταται τοῦ Υἱοῦ· ὅτε δὲ τό: *Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε*, λέγεται πρὸς αὐτὸν ὑπὸ τοῦ Θεοῦ, ᾧ ἀεί ἐστι τὸ σήμερον· οὐκ ἔνι γὰρ ἑσπέρα Θεοῦ, ἐγὼ δὲ ἡγοῦμαι, ὅτι οὐδὲ πρωΐα, ἀλλ' ὁ συμπαρεκτείνων τῇ ἀγενήτῳ καὶ ἀϊδίῳ αὐτοῦ ζωῇ, ἵν' οὕτως εἴπω, χρόνος ἡμέρα ἐστὶν αὐτῷ σήμερον, ἐν ᾗ γεγέννηται ὁ Υἱός· ἀρχῆς γενέσεως αὐτοῦ οὕτως οὐχ εὑρισκομένης, ὡς οὐδὲ τῆς ἡμέρας».—Εἰς Ἱερεμ. ὁμιλ. Θ΄. 4. «Ἐὰν οὖν ἐπιστήσω σοι ἐπὶ τοῦ Σωτῆρος, ὅτι οὐχὶ ἐγέννησεν ὁ Πατὴρ τὸν Υἱόν, καὶ ἀπέλυσεν αὐτὸν ὁ Πατὴρ ἀπὸ τῆς γενέσεως αὐτοῦ, ἀλλ' ἀεὶ γεννᾷ αὐτόν· παραστήσω καὶ ἐπὶ τοῦ δικαίου παραπλήσιον· ἴδωμεν δὲ τίς ἡμῶν ἐστιν ὁ Σωτήρ. Ἀπαύγασμα δόξης· τὸ ἀπαύγασμα δόξης οὐχὶ ἅπαξ γεγέννηται, καὶ οὐχὶ γεννᾶται· ἀλλ' ὅσον ἐστὶ τὸ φῶς ποιητικὸν τοῦ ἀπαυγάσματος, ἐπὶ τοσοῦτον γεννᾶται τὸ ἀπαύγασμα τῆς δόξης τοῦ Θεοῦ· ὁ Σωτὴρ ἡμῶν σοφία ἐστὶ τοῦ Θεοῦ· ἔστι δὲ ἡ σοφία ἀπαύγασμα φωτὸς ἀϊδίου. Εἰ οὖν ὁ Σωτὴρ ἀεὶ γεννᾶται, καὶ διὰ τοῦτο λέγει· *πρὸ δὲ πάντων βουνῶν γεννᾷ με*· οὐχὶ δὲ *πρὸ τῶν πάντων βουνῶν γεγέννηκέ με*, ἀλλὰ *πρὸ πάντων βουνῶν γεννᾷ με*, καὶ ἀεὶ γεννᾶται ὁ Σωτὴρ ὑπὸ τοῦ Πατρός». Ἴδ. σημ. προηγ. [Τῇ αὐτῇ παρομοιώσει χρῆται ὁ Τερτυλλιανὸς ἐν τῷ Ἀπολογ. αὐτοῦ, c. 21. «Etiam cum radius ex sole

ἐνίοτε ἐπειρᾶτο ἑρμηνεῦσαι τὴν σχέσιν Αὐτῶν διὰ τῆς πνευματικῆς προβολῆς τοῦ Υἱοῦ παρὰ τοῦ Πατρός, τοῦ Πνεύματος παρὰ τοῦ Υἱοῦ, καὶ διὰ τοῦτο, ἢ προϋπετίθει, οὕτως εἰπεῖν, βαθμοὺς ἐν τῇ Θείᾳ Οὐσίᾳ, ἢ ἡ ἔννοια αὐτοῦ μένει πάντη ἀσαφής (1).

porrigitur, portio ex summa. Sed Sol erit in radio, quis Solis est radius; nec separatur substantia, sed extenditur. Ita de Spiritu Spiritus, et de Deo Deus, ut lumen de lumine accensum; manet integra et indefecta materiæ matrix, et si plures inde traduces qualitatis mutueris. Ita et quod de Deo profectum est, Deus est et Dei Filius, et unus ambo». Ἐν τῷ κατὰ Πραξ. c. 2. et 4. «Patrem et Filium et Spiritum Sanctum unius esse substantiæ, et unius status, et unius potestatis, et Filium non aliunde deducere se, quam de substantia Patris». Αὐτὸς δ᾽ Αὐγουστῖνος διὰ τῆς αὐτῆς συγκρίσεως ἐκτίθησι τὴν γέννησιν τοῦ Λόγου (lib. VII de Trinit.), διὰ τῆς αὐτῆς ἀρχῆς, ἀλλ᾽ οὐ τὰ αὐτὰ συνάγει. «Ipse Arius, λέγει, dixisse fertur: Si Filius est, natus est: si natus est, erat tempus quando non erat Filius; non intelligens etiam natum esse Deo sempiternum esse, ut sit coaeternus Patri Filius, sicut splendor, qui gignitur ab igne, atque diffunditur, coaevus illi est, et esset coaeternus, si esset ignis aeternus». Σ. Μ.]

(1) Περὶ Ἀρχ. Α΄. ϐ΄. 6. γ΄. 5. Εἰς Ἰωάν. Τόμ. Β΄. §. 6. «Ἡμεῖς μέντοιγε τρεῖς ὑποστάσεις πειθόμενοι τυγχάνειν, τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, καὶ ἀγέννητον μηδὲν ἕτερον τοῦ Πατρὸς εἶναι πιστεύοντες, ὡς εὐσεβέστερον καὶ ἀληθές, προσιέμεθα τό, πάντων διὰ τοῦ Λόγου γενομένων, τὸ ἅγιον Πνεῦμα πάντων εἶναι τιμιώτερον, καὶ τάξει πάντων τῶν ὑπὸ τοῦ Πατρὸς διὰ Χριστοῦ γεγενημένων. Καὶ τάχα αὕτη ἐστὶν ἡ αἰτία τοῦ μὴ καὶ Αὐτὸ Υἱὸν χρηματίζειν τοῦ Θεοῦ, μόνου τοῦ Μονογενοῦς φύσει Υἱοῦ ἀρχῆθεν τυγχάνοντος, οὗ χρήζειν ἔοικε τὸ ἅγιον Πνεῦμα, διακονοῦντος αὐτοῦ τῇ ὑποστάσει, οὐ μόνον εἰς τὸ εἶναι, ἀλλὰ καὶ σοφὸν εἶναι καὶ λογικόν, καὶ δίκαιον, καὶ πᾶν ὅ,τι ποτοῦν χρὴ αὐτὸ νοεῖν τυγχάνειν, κατὰ μετοχὴν τῶν προειρημένων ἡμῖν Χριστοῦ ἐπινοιῶν». Ἴδ. καὶ Τόμ. ΙΓ΄. 25. Περὶ τῶν βαθμῶν ἐν τῇ Θεότητι οὐδαμοῦ λέγει κατ᾽ εὐθεῖαν, ἀλλὰ λέγει περὶ τῆς αἰωνιότητος καὶ ταυτότητος τῆς οὐσίας τῶν προσώπων. Ὁ Φώτιος σφαλερῶς εἶπεν, ὅτι ὁ Ὠριγένης ἐν τῷ περὶ Ἀρχῶν πρώτῳ βιβλίῳ: «Πλεῖστα βλασφημεῖ· τὸν μὲν Υἱὸν ὑπὸ τοῦ Πατρὸς πεποιῆσθαι λέγων, τὸ δὲ Πνεῦμα ὑπὸ τοῦ Υἱοῦ». Ὁ Ὠριγένης οὐδαμοῦ ἔγραψεν οὔτε περὶ τοῦ Υἱοῦ,

Διὰ τοῦτο ὁ ἅγιος Ἀθανάσιος πολλάκις ἀνέφερε τὸν Ὠριγένην ἐν τοῖς πρὸς τοὺς Ἀρειανοὺς ἀγῶσι, σημειῶν συνάμα, ὅτι παρατηρητέον παρ' αὐτῷ οὐχὶ ἐκεῖνα τὰ χωρία, ἔνθα ἐρευνᾷ τὴν ὑπόθεσιν, ἀλλ' ἐκεῖνα, ἔνθα καταφατικῶς διδάσκει κατὰ τῶν αἱρέσεων (1). Ὁ μέγας Βασίλειος ἐχρήσατο μαρτυρίᾳ ἐκ τῶν λόγων τοῦ Ὠριγένους ἐν τῷ περὶ τῆς Θεότητος τοῦ ἁγίου Πνεύματος συγγράμματι αὐτοῦ, προστιθείς, ὅτι ὁ Ὠριγένης οὐκ ἐν πᾶσι τελέως εἶχεν ὑγιεῖς ὑπολήψεις περὶ τοῦ Πνεύματος (2).

---

οὔτε περὶ τοῦ ἁγίου Πνεύματος *πεποιῆσθαι*, ἀλλ' ἐχρῆτο τῇ ἐκφράσει —*γίνεσθαι*, *γεγονέναι*. Ὁ Ὠριγένης διασαφεῖ ἑαυτὸν ὧδε: «Erat autem, non sicut de aeterna luce diximus, innatus (ἀγέννητος), ne duo lucis principia videamur inducere, sed sicut ingenitæ lucis splendor, ipsam illam lucem initium habens ac fontem, natus quidem ex ipsa, sed non erat, quando non erat» Comment. in epist. ad Hebræos. ἴδ. σελ. 393 σημ. 4. [Ὁ μέγας Ἀθαν. λέγει: «Οὐκ ἀγνοοῦμεν δέ, ὅτι καὶ οἱ εἰρηκότες ἓν τὸ ἀγέννητον, τὸν Πατέρα λέγοντες, οὐχ ὡς γεννητοῦ καὶ ποιήματος ὄντος τοῦ Λόγου οὕτως ἔγραψαν, ἀλλ' ὅτι μὴ ἔχει αἴτιον». Περὶ τῶν γενομένων ἐν Ἀριμίνῳ τῆς Ἰταλίας καὶ ἐν Σελευκείᾳ τῆς Ἰσαυρ. Συνόδ.—Σ. Μ.].

(1) Περὶ τῶν ὑπὸ τῆς ἐν Νικαίᾳ συν. ὁρισθ. §. 27. Τ. Ι΄. σελ. 232. [Ἐν τῷ βιβλίῳ τούτῳ σελ. 233. ὁ μέγας Ἀθανάσιος ἀναγινώσκει δύο λαμπροτάτας τοῦ Ὠριγένους μαρτυρίας, ὧν ἡ μὲν πρώτη ἔχει ὧδε: Εἰ ἔστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, ἀόρατος εἰκών. Ἐγὼ δὲ τολμήσας προσθείην ἄν, ὅτι καὶ ὁμοιότης τυγχάνων τοῦ Πατρός, οὐκ ἔστιν ὅτε οὐκ ἦν. Πότε γὰρ ὁ Θεός, ὁ κατὰ Ἰωάννην φῶς λεγόμενος, *ὁ Θεὸς γὰρ φῶς ἐστιν*, ἀπαύγασμα οὐκ εἶχε τῆς ἰδίας δόξης, ἵνα τολμήσας τις ἀρχὴν δῷ εἶναι Υἱῷ, πρότερον οὐκ' ὄντος; πότε δὲ ἡ τῆς ἀρρήτου καὶ ἀκατανομάστου καὶ ἀφθέγκτου ὑποστάσεως τοῦ Πατρὸς εἰκών, ὁ χαρακτὴρ Λόγος, ὁ γινώσκων τὸν Πατέρα, οὐκ ἦν; Κατανοήτω γὰρ ὁ τολμῶν καὶ λέγων: Ἦν ποτέ, ὅτε οὐκ ἦν ὁ Υἱός, ὅτι ἐρεῖ καὶ τό. Σοφία ποτὲ οὐκ ἦν, καὶ Λόγος οὐκ' ἦν, καὶ Ζωὴ οὐκ ἦν», ἡ δὲ δευτέρα μαρτυρία ἀναγινώσκεται παρὰ τῷ Ἀθανασίῳ αὐτόθ. ὧδε: «Ἀλλ' οὐ θέμις ἐστιν, οὐδὲ ἀκίνδυνόν ἐστι διὰ τὴν ἀσθένειαν ἡμῶν τό, ὅσον ἐφ' ἡμῖν, ἀποστερεῖσθαι τὸν Θεὸν τοῦ ἀεὶ συνόντος Αὐτῷ Λόγου μονογενοῦς, Σοφίας ὄντος ᾗ προσέχαιρεν. Οὕτω γὰρ οὐδὲ ἀεὶ χαίρων νοηθήσεται». Σ. Μ.].

(2) Περὶ τοῦ ἁγίου Πνεύμ. §. 73. Τόμ. 3. σελ. 61.

Καθ'όλας τὰς ἄλλας ἐπόψεις ἡ δογματικὴ διδασκαλία τοῦ Ὠριγένους ἐστὶ πληρέστατα πιστὴ καὶ ὡρισμένη. Ἀναφέρομεν τὴν διδασκαλίαν περὶ τῆς ἑνώσεως τῆς Θεότητος μετὰ τῆς ἀνθρωπότητος ἐν τῷ Ἰησοῦ Χριστῷ [α], περὶ τῆς κληρονομικῆς διαφθορᾶς ἐν τῷ ἀνθρώπῳ [β], περὶ τῆς ἱλαστηρίου σημασίας τοῦ θανάτου τοῦ Ἰησοῦ Χριστοῦ [γ], περὶ τῆς χάριτος τοῦ Θεοῦ [δ], περὶ τῶν μυστηρίων

---

[α] Κατὰ Κέλσ. β'. 9. «Πρὸς ταῦτα φήσομεν, ὅτι οὐδ' ἡμεῖς ὑπολαμβάνομεν, τὸ βλεπόμενον τότε καὶ αἰσθητὸν Ἰησοῦ σῶμα εἶναι Θεόν· καὶ τί λέγω τὸ σῶμα; ἀλλ' οὐδὲ τὴν ψυχήν, περὶ ἧς λέλεκται τό: «*Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου*» . . . . Ταῦτα δὲ φαμέν, οὐ χωρίζοντες τὸν Υἱὸν τοῦ Θεοῦ ἀπὸ τοῦ Ἰησοῦ· ἓν γὰρ μάλιστα μετὰ τὴν οἰκονομίαν γεγένηται πρὸς τὸν Λόγον τοῦ Θεοῦ ἡ ψυχὴ καὶ τὸ σῶμα τοῦ Ἰησοῦ». Γ'. 41. «Ὅμως δὲ ἴστωσαν οἱ ἐγκαλοῦντες, ὅτι ὃν μὲν νομίζομεν καὶ πεπείσμεθα ἀρχῆθεν εἶναι Θεὸν καὶ Υἱὸν Θεοῦ, οὗτος ὁ Αὐτολόγος ἐστὶ καὶ ἡ Αὐτοσοφία καὶ ἡ Αὐτοαλήθεια· τὸ δὲ θνητὸν αὐτοῦ σῶμα καὶ τὴν ἀνθρωπίνην ἐν αὐτῷ ψυχὴν τῇ πρὸς ἐκεῖνον οὐ μόνον κοινωνίᾳ, ἀλλὰ καὶ ἑνώσει καὶ ἀνακράσει τὰ μέγιστα φαμὲν προσειληφέναι, καὶ τῆς ἐκείνου Θειότητος κεκοινωνηκότα εἰς Θεὸν μεταβεβηκέναι». Ἴδ. καὶ βιβλ. ς'. §. 47.

[β] Homil. VIII. n. 3. in Levit. Homil. XII. n. 4. Com. in Cant. lib. III. Op. T. III. p. 83.

[γ] Κατὰ Κέλσ. Β'. 23. «Προαπελογησόμεθα δὲ ἐν τοῖς ἀνωτέρω, ὅτι βουληθεὶς μὴ ἥκειν εἰς χεῖρας ἀνθρώπων, οὐκ ἐληλύθει ἄν. Ἦλθε δὲ ἐπεὶ ἐβούλετο, διὰ τὸ προαποδεδομένον ἐκ τοῦ αὐτὸν ὑπὲρ ἀνθρώπων ἀποθανεῖν τῷ παντὶ χρήσιμον». Ὑπόμν. εἰς Ἰωάν. Τ. Α'. §. 22. «. . . Ὁ Θεὸς μὲν οὖν πάντη ἕν ἐστι καὶ ἁπλοῦν· ὁ δὲ Σωτὴρ ἡμῶν διὰ τὰ πολλά, ἐπεὶ προέθετο αὐτὸν ὁ Θεὸς ἱλαστήριον καὶ ἀπαρχὴν πάσης τῆς κτίσεως . . . .» Ὁμιλ. Η'. εἰς Ἱερεμ. «. . . Δῆλον, ὅτι πέπτωκεν ἕκαστος τῶν ἐν τῇ οἰκουμένῃ ἀπὸ ἁμαρτίας. Καὶ Κύριός ἐστιν ὁ ἀνορθῶν τοὺς κατερραγμένους, καὶ ὑποστηρίζει πάντας τοὺς καταπίπτοντας.. Ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσι, καὶ οὕτω πέπτωκεν ἡ οἰκουμένη, καὶ δεῖται ἀνορθώσεως, ἵνα ἐν τῷ Χριστῷ πάντες ζωοποιηθῶσι . . . .» Explanat. in Ep. ad Romanos lib. III. c. 8. «Cum superius dixisset Apostolus, quod pro omni genere humano redemptionem semetipsum dedisset, ut eos, qui in peccatorum captivitate tenebantur, redimerat, dum sine Deo mortem gustat (Hebr. II. 9.); nunc addit aliquid subli-

τοῦ βαπτίσματος καὶ τοῦ μύρου [ε], περὶ τῆς θείας εὐχαριστίας [ς], περὶ τῆς μετανοίας καὶ τοῦ εὐχελαίου [ζ].

Μελετῶντες πάντα τὰ εἰρημένα περὶ τῶν πονημάτων τοῦ Ὠριγένους, ὁρῶμεν οἱ μὲν ὅσον ῥαδίως ὑπερεθαύμαζον αὐτὸν καὶ ὑπερεπῄνουν — οἱ δὲ ἐμέμφοντο αὐτῷ καὶ ὑπὲρ τὸ δέον ἔψεγον. Ὁ Ὠριγένης — θαῦμα τοῦ αἰῶνος κατὰ τὰ πνευματικὰ χαρίσματα — μεγίστην παρέσχεν ὠφέλειαν τοῖς τε κατ' αὐτὸν καὶ τοῖς μετὰ ταῦτα (1). Ἅπαντες οἱ μεγάλοι διδάσκαλοι τοῦ τετάρτου αἰῶνος ἐχρῶντο τοῖς συγγράμμασιν αὐτοῦ ἐν τῇ πρὸς τοὺς Ἀρειανοὺς δεινῇ πάλῃ· ἀλλ' οἱ μεγάλοι οὐκ ἐπελανθάνοντο, ὅτι ἦν ἄνθρωπος, καὶ παρετήρουν τὰ σφάλματα αὐτοῦ (2). Μετὰ τὸν ἅγιον Μεθόδιον ὁ Ἐπιφάνιος καὶ ὁ Ἱερώνυμος ἠγέρθησαν σφοδρῶς κατὰ τοῦ Ὠριγένους· αἱ δὲ ἔριδες τοῦ Ἱερωνύμου πρὸς τὸν Ῥουφῖνον κατὰ τοῦτο ἦσαν λυπηραί (3) [*]. Αὐτὸς ὁ Ἱερώνυμος ἔγραφε περὶ τοῦ

mius et dicit quia . . . quo scilicet per hostiam corporis sui propitium faceret hominibus Deum, et per hoc ostenderet justitiam suam, dum eis remitteret præcedentia delicta».

[δ] Κατὰ Κέλσ. Γ'. 40. Ζ'. 44. 42. Ὁμιλ. ή. εἰς Ἱερεμ. εἰς Ματθ. Τόμ. ιβ'. §. 40. εἰς Ἰωάννην Τόμ. κ'. κεφ. 26.

[ε] Explanat. in epist. ad Roman. lib. V. §. 8. εἰς Ἰωάννην Τόμ. ς'. §. 17. Homil. IV. in Cant. Canticor.

[ς] Κατὰ Κέλσ. βιβλ. ή. κεφ. 33. περὶ Εὐχῆς κεφ. 27. Hom. XII in Levit c. 5.

[ζ] Homil. III. in Levit. n. 4, περὶ Εὐχῆς κεφ. 28. Homil. XVII in Luc.

(1) Vincent. Lirin. Common. C. XVII.

(2) Περὶ τῆς φιλοκαλίας τοῦ Βασιλείου καὶ τοῦ Γρηγορίου ἴδ. σημ. 96. 98. Κατὰ τὸν Σουΐδαν, ὁ Γρηγόριος ἔλεγεν, ὅτι ὁ Ὠριγένης ἐστὶ πᾶσιν ἡμῖν ὀστοῦν. Περὶ τοῦ Ἀθανασίου ἴδ. σελ. 399. σημ. 1. περὶ Γρηγορίου τοῦ Νύσσης, τοῦ Ἱερωνύμου, τοῦ Ἀμβροσίου, τοῦ Ἱλαρίου, καὶ τοῦ Ἐφραὶμ ὀψόμεθα κατωτέρω. Περὶ Γρηγορίου τοῦ θαυματουργοῦ, Διονυσίου τοῦ Ἀλεξανδρείας, τοῦ Παμφίλου καὶ τοῦ Θεοκτίστου εἴδομεν.

(3) Ἴδ. περὶ Ἐπιφ. καὶ Ἱερωνύμου.

[*] «Αἱ λυπηρόταται τῶν ἐρίδων ὡς πρὸς τὸν Ὠριγένην, λέγει ὁ σοφὸς J. A. Mœhler, ἦσαν αἱ ἐγερθεῖσαι μεταξὺ τοῦ Ἱερωνύμου καὶ τοῦ πρεσβυτέρου τῆς Ἀκυληΐας Ῥουφίνου. Ὁ πρῶ-

Ὠριγένους: «Vult aliquis laudare Origenem? Laudet. ut laudo: magnus vir ab infantia et vere martyris filius. Alexandriæ ecclesiasticam scholam tenuit, succedens erudissimo viro Clementi presbytero; voluptates intantum fugit, ut zelo Dei, sed tamen non secundum scientiamferro truncaret genitalia; calcavit avaritiam. Scripturas memoriter tenuit et in studio explanationis eorum, diebus desudavit ac noctibus. Mille et eo amplius tractatus in Ecclesia locutus est; edidit innumerabiles praeterea commentarios, quos ipse appellat *Τόμους*, et quos nunc praetereo, ne videar operum ejus indicem texere. Quis nostrum tanta potest legere, quanta ille conscripsit? Quis ardentem in Scripturis animum non miretur? Quod si quis Iudas Zelotes opposuerit nobis errores ejus, audiat libere:

» Interdum magnus dormitat Homerus,
» Verum opere in longo fas est obrepere somnum.

Non imitemur ejus vitia, cujus virtutes non possumus assequi. Erraverunt in fide alii tam Græci, quam Latini, quorum non necesse est proferre nomina, ne videamur eum non sui merito, sed aliorum errore defendere. Hoc non est, inquies, excusare Origenem, sed

---

τος, γενόμενος τὸ πρῶτον θαυμαστὴς τοῦ συγγραφέως τούτου, οὐκ ἀπέκαμε βραδύτερον διαβάλλων καὶ καθαπτόμενος αὐτοῦ μετὰ τοῦ αὐτοῦ ζήλου, μεθ' οὗ οἱ ὀπαδοὶ αὐτοῦ ἐσπούδαζον ἀπολογεῖσθαι ὑπὲρ αὐτοῦ καὶ ποιήσασθαι κατάδηλον τὴν ἀξίαν αὐτοῦ. Πᾶς ἀμερόληπτος ὁμολογήσει, ὅτι ὁ ἅγιος Ἱερώνυμος ἐπήδησεν ὑπὲρ τὰ ἐσκαμμένα, καὶ ἐδείχθη ἄνευ λόγου ἄδικος πρὸς τὸν Ὠριγένην. Ἀνεγίνωσκε πολλάκις χωρία μὴ παρατηρῶν τὸν μετὰ τοῦ ὅλου σύνδεσμον αὐτῶν, καὶ ἀπεδίδω αὐτοῖς ἔννοιαν, ἣν οὐκ εἶχον, καὶ οὐκ ἠδύναντο ἔχειν. Ἀλλ' ἐν τῇ ἐπικρατούσῃ τότε συγχύσει, ἐν τῇ θερμότητι τῆς ἔριδος, θερμότητι, ἣν ηὔξανον ἔτι αἱ προσωπικότητες, ἦν πάνυ δυσχερὲς τηρῆσαι δίκαιον μέτρον ἐν ταῖς κρίσεσιν αὐτοῦ. Ἡ παρατήρησις αὕτη δύναται χρησιμεῦσαι ὡς ἀπολογία τῷ Ἱερωνύμῳ. Μόνον ὁ Ἀθανάσιος, ὁ Βασίλειος καὶ Ἱλάριος, ἠδύναντο φανῆναι ἀνώτεροι τοιούτων μεροληψιῶν καὶ τηρῆσαι ἀδιάφθορον γνώμην καὶ πνεῦμα ἐλεύθερον πάσης προκαταλήψεως. Ὀφείλομεν εἰπεῖν μετὰ τοῦ Ἱερωνύμου, καὶ καθ' ἣν στιγμὴν ἦν τὰ μάλιστα ἠρεθισμένος κατὰ τοῦ Ὠριγένους ὅτι «Non imitemur ejus vitia, cujus virtutes non possumus assequi.» (Patrolog. T. II. p. 150—151 de la traduct. française). Σ. Μ.

accusare cæteros. Pulchre, si eum errasse non dicerem, si in fidei pravitate saltem Apostolum Paulum, vel Angelum de coelo audiendum crederem. Nunc vero, cum simpliciter errorem ejus fatear, sic legam ut caeteros, qui sic erravit ut caeteri ([1]). Τῷ 541 θελήσει τοῦ Αὐτοκράτορος Ἰουστινιανοῦ ἐν τοπικῇ συνόδῳ ἐπὶ τοῦ Πατριάρχου Μηνᾶ κατεκρίθησαν αἱ οὕτω τότε καλούμεναι ὠριγένειοι ἰδέαι καὶ οἱ Ὠριγενισταί ([2]). Τοῦτο δὲ ἐγένετο, διότι οἱ ἄκριτοι θαυμασταὶ τοῦ Ὠριγένους κατέτασσον τὰς ὑποθέσεις αὐτοῦ ἐν τοῖς δόγμασι τῆς πίστεως, προσετίθεσαν ταῖς πλάναις αὐτοῦ τὰς ἑαυτῶν, ὑπερήσπιζον μετ' ἰσχυρογνωμοσύνης ταύτας καὶ ἐκείνας, καὶ ἐγίγνοντο αἴτιοι αἱματηρῶν διαιρέσεων ἐν τῇ Ἐκκλησίᾳ ([3]). Πιστοτά-

([1])Epist. ad Pammach. et Ocean. 41. (84). Proem. tradit. in Genesin. epist. ad Tranquil 46(62).

([2]) Τὸ ἔδικτον τοῦ Ἰουστινιανοῦ μετὰ τοῦ ἀπογράφου τῶν κατακρίσεων, προστεθὲν κατὰ τὰ ἀπόγραφα τοῖς πρακτικοῖς τῆς πέμπτης οἰκουμενικῆς συνόδου, παρέσχεν ἀφορμὴν τισι νομίσαι, ὅτι ἡ ἐξέτασις τῶν ἰδεῶν τοῦ Ὠριγένους ἐγένετο κατὰ τὴν πέμπτην σύνοδον, ἀλλὰ τοῦτό ἐστιν ἀπάτη, ἣν προσέγραψαν τῇ ἱστορίᾳ αὐτῶν ὁ Κεδρηνός, ὁ Κάλλιστος καὶ ἄλλοι. Καὶ ά.] ἐν αὐτῷ τῷ ἐδίκτῳ ὁρίζεται συγκροτηθῆναι τὴν σύνοδον ἐπὶ τοῦ Πατριάρχου τῆς Κωνσταντινουπόλεως Μηνᾶ, τοῦ Ἀλεξανδρείας Ζωΐλου, τοῦ Ἀντιοχείας Ἐφραιμίου, καὶ τοῦ Ἱεροσολύμων Πέτρου. Ἡ σύνοδος συνεκροτήθη ὅτε «ἐν Κωνσταντινουπόλει ἦν ὁ λεγάτος Πελάγιος»· ἀλλ' ὁ τελευταῖος οὗτος ἀνεκλήθη τῷ 544 εἰς Ρώμην, καὶ κατὰ τὸ αὐτὸ ἔτος ἐτελεύτησεν ὁ Π. Πέτρος. 6'] ὁ Λιβεράτος (Breviarum C. XXIII) καὶ ὁ Φακοῦνδος (pro defensione trium capit, l. I. c. 2. l. IV, c. 4.), ὄντες ἐν Κωνσταντινουπόλει κατὰ τὴν οἰκουμενικὴν σύνοδον, γράφουσιν, ὅτι ἡ κατάκρισις τῶν Ὠριγενείων δοξασιῶν ἐγένετο πρὸ τῆς οἰκουμενικῆς συνόδου, καὶ ὅτι ἡ κατάκρισις αὕτη παρώτρυνε τὸν ἐπίσκοπον Θεόδωρον, πάνυ εὐνοϊκῶς διατεθειμένον πρὸς τὸν Ὠριγένην, πεῖσαι τὸν Αὐτοκράτορα Ἰουστινιανὸν συγκαλέσαι οἰκουμενικὴν σύνοδον κατὰ τῶν τριῶν κεφαλαίων. Ἴδ. *Le-Quien* Or. Christ. T. 3. p. 210. *Walch* Ketzergeschichte Tom. 7. s. 660.

([3]) Αἱ ὑπὸ τῆς συνόδου κατακριθεῖσαι δοξασίαι κατὰ τὸ ἥμισύ εἰσιν οὐ τοιαῦται, οἷαι ἀπαντῶσιν ἐν τοῖς συγγράμμασι τοῦ Ὠριγένους, οὐδὲ τῆς αὐτῆς μορφῆς, ἐν ᾗ εὑρίσκονται παρ' αὐτῷ. Οἱ κανόνες τῆς συνόδου ἐξεδόθησαν ὑπὸ τοῦ Μανσίου (col.

την περὶ ἑαυτοῦ γνώμην ἀπεφήνατο αὐτὸς ὁ Ὠριγένης κατὰ τὰ τελευταῖα ἔτη τῆς ζωῆς αὐτοῦ: «Καὶ ἡ ἀγάπη, γράφει, ἐστὶν ἐπικίνδυνος, ὑπερβαίνουσα τὸ μέτρον. Ὀφείλει γὰρ ὁ ἄλλον ἀγαπῶν θεωρεῖν τὰς τοῦ ἀγαπωμένου φυσικὰς διαθέσεις, καὶ μὴ πλέον τοῦ δέοντος ἀγαπᾷν αὐτόν. Πέρα τοῦ μέτρου οὔσης τῆς ἀγάπης, ὅ τε ἀγαπῶν καὶ ὁ ἀγαπώμενος ἔσονται ἐν τῇ ἁμαρτίᾳ . . . . . τοῦτό γε ἐν τῇ Ἐκκλησίᾳ πάσχομεν, πλεῖστοι γὰρ τῶν ὑπὲρ τὸ μέτρον ἀγαπώντων ἡμᾶς ταῦτα θρυλλοῦσι καὶ λέγουσι, τούς τε λόγους καὶ τὴν διδασκαλίαν δι' ἐπαίνων ἄγοντες, ἅτινα ἡ συνείδησις ἡμῶν οὐκ ἀποδέχεται. Ἄλλοι δὲ παρεξηγούμενοι τὰ συγγράμματά ἡμῶν, κατηγοροῦσιν ἡμῶν ἔχειν δοξασίας, ἃς οὐδέποτε ἴσμεν ἐσχηκότες. Ἀλλ' οὔτε οἱ ὑπὲρ τὸ δέον ἀγαπῶντες, οὔτε οἱ μισοῦντες τηροῦσι τὸν κανόνα τῆς ἀληθείας· οἱ μὲν ἐκ τῆς ἀγάπης, οἱ δὲ ἐκ τοῦ μίσους ψεύδονται . . . . . . . .» (1).

Concil. T. IX p. 395). Περὶ τῶν ταραχῶν τῶν Ὠριγενιστῶν ἴδ. Κύριλλον τὸν Σκυθουπολ. ἐν τῷ βιβλίῳ τοῦ ἁγίου Σάββα.

(1) Homil. XXV in Luc T. III. p. 962.

ΤΕΛΟΣ ΤΟΥ Α'. ΤΟΜΟΥ.

# ΠΙΝΑΞ

## Τῶν ἐν τῷ πρώτῳ τόμῳ περιεχομένων·

### ΕΙΣΑΓΩΓΗ.

Σελὶς



## ΠΡΩΤΗ ΠΕΡΙΟΔΟΣ

### ΠΡΩΤΟΝ ΤΜΗΜΑ·

### Αἰὼν τῶν Ἀποστολικῶν ἀνδρῶν. Γενικὴ Ἐπιθεώρησις.

ΜΕΡΙΚΗ ΕΠΙΘΕΩΡΗΣΙΣ.



---

# ΔΕΥΤΕΡΟΝ ΤΜΗΜΑ.

## Ἀπὸ τοῦ 140ου μέχρι τοῦ 312ου ἔτους.

ΓΕΝΙΚΗ ΕΠΙΘΕΩΡΗΣΙΣ.

MEPIKH ΕΠΙΘΕΩΡΗΣΙΣ.

Σελ.











